B I B L I O T H E C A
SCRIPTORVM GRAECORVM ET ROMANORVM
T E V B N E R I A N A

SOPHOCLIS
PHILOCTETES

TERTIVM EDIDIT

R. D. DAWE



STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVI

Die Deutsche Bibliothek — CIP-Einheitsaufnahme

Sophocles:
[Philoctetes]
Sophoclis Philoctetes. — 3. ed. / R. D. Dawe. —
Stutgardiae ; Lipsiae : Teubner, 1996
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-8154-1815-1
NE: Dawe, Roger D. [Hrsg.]

Printed in Germany
Satz: DW & ID Repro- und Satzzentrum GmbH
Druck: Winkler-Druck GmbH, Gräfenhainichen
Buchbinderei: Christian Biener, Dessau

PRAEFATIO

Codices qui Trachinias, Antigonen, Philocteten Oedipumque Coloneum exhibent multo pauciores sunt illis qui triadem quae vocatur Byzantina. qui adhibendi essent quique neglegendi ex duobus praesertim subsidiis constituimus: collationibus videlicet librorum Antigones ab E. Christiano Kopff[1] Oedipodisque Colonei a G. Speake[2] confectis. quod ad Trachinias attinet, lectiones ex aliquot codicibus selectas iam dudum patefecit W. Subkoff[3]. editoris opus facilius reddiderunt etiam collationes Philoctetae librorum **GQR** quas publici iuris fecit Patricia Easterling[4]. multa tamen restabant nobis perficienda, atque multa iam ab his quos nominavimus lustrata iterum peragrare nobis aequum esse videbatur. alio autem modo rem gessimus atque in triade: nam cum lectionum minutias discrepantium impertire nobis non propositum esset, non codices ipsos sed imagines *ξηρογράφους* plerumque domi excussimus. quotiens autem ex his minus clarum erat quid in libris Parisinis scriptum esset, per *αὐτοψίαν* certiores facti sumus; eodem munere functus codices Flo-

1 A Collation and Description of the Manuscripts of Sophocles' Antigone, Diss. University of North Carolina, Chapel Hill, 1974.

2 Greek, Roman and Byzantine Monographs 8, Durham 1978.

3 Trachiniae ed. W. Subkoff, Mosquae 1879.

4 Class. Quart. N. S. 19 (1969) 57–85.

rentinos pro sua benevolentia nobis inspexit Augustus Guida.

Quibus modis codices harum quattuor fabularum inter se conectantur, quoad potuimus in tertio Studiorum nostrorum volumine[5] explanavimus. haud aliter atque in triade stationes extremas occupant codex L, quem A. Diller saec. X medio assignavit[6], et **A**, cui artissime cohaerent **U** et **Y**. codex **A** omnibus Sophoclis lectoribus iam dudum notissimus est, sed **U** eiusdem fere esse temporis atque auctoritatis videtur. ubi hi inter se discrepant, si lectionem progenitoris pro certo habere vis, codicis **Y** arbitrio rem remittas.

Tertia familia ex libris **ZoT** imprimis constituta est, quibus in hac editione accedunt **Zg** (Trach. et Phil.), **Zf** (Ant.), **Zn** (Oed. Col.). ex his principatum tenet **Zo**. auctoritatem huius familiae non facile colligeres ex editionibus quibus viridocti hodie uti solent. nunc tamen inter alia apparet multas lectiones quas Demetrii Triclinii ingenio tribuere mos erat ex antiquo fonte communi derivatas esse.

Zc (Ant.) auspiciis parum felicibus suum nomen accepit, nam cum **ZfZgZnZo** non multum congruit. superest enim quarta familia quaedam, si familiam eos codices re vera appellare licet qui originem ducunt ex exemplaribus paucis haud multum a codice L distantibus. ex hac praeter **Zc** et illos G (Phil.) **Q** (Phil. et Oed. Col.) **R** (omnes praeter Trach. 373 ad finem), quos etiam in priore volumine adhibuimus, his codicibus usi sumus: **K**, cuius collationes utilissimas praestitit Metlikovitz[7]; hic omnes sep-

5 Studies on the Text of Sophocles, vol. III, Leiden 1978.

6 Serta Turyniana, Illinois 1974, 522.

7 Dissertationes philologae Vindobonenses 2 (Pragae – Vindobonae – Lipsiae 1890) 213–302.

tem fabulas continet, et eo gratior Trachiniarum editori est quod ceteri huius familiae libri in hac fabula aut partim aut omnino deficiunt; locum propiorem a codice **L** obtinet quam a progenitore librorum **GQR**. deinde **S** (Ant. et Phil. 1–654, 748–1297) et **V** (Ant. Phil. Trach. 1–18, Oed. Col. 1338–1779). quamquam **SV** multos errores communes exhibent, necessitudines alias uterque praebet: noli igitur eos pro gemellis habere. sunt loci ubi $S^{\gamma\rho}$ cum $L^{s\gamma\rho}$ consentit: Ant. 231, 521, 1136, 1308; Phil. 426, 538, 954, 1093, 1199.

Hodie nemo ignorat, etsi causas penitus intellegere difficile est, familias singulas vel etiam codices singulos lectiones antiquas tradere posse aliis traditionis stirpibus ignotas. **AUY** cum papyri fragmento consentiunt ad Trach. 360, Ant. 110, Oed. Col. 138. idem facit **K** ad Trach. 783, 1136, 1275. *φρονεῖν* exhibent L^{ac} et pap. Amst. Inv. 68 ad Trach. 289. inter Pollucem et **ZoT** est insignis similitudo in loco Ant. 628. ubi desunt testimonia extrinsecus afferenda, antiquas esse huiusmodi lectiones probant leges metricae seu grammaticae, ut de ipso stilo Sophocleo sileamus. hoc fusius comprobavimus in nostro libello Leidensi: possis tamen, si rem ex paucis admodum locis aestimare vis, hac brevi tabula uti:

prima familia
L: Ant. 619, 938; Phil. 110, 1461; Oed. Col. 35
$L^{s\gamma\rho}$: Trach. 7, 731; Ant. 340; Oed. Col. 1218

altera familia
AUY: Trach. 502, 977; Ant. 34, 471(?), 557, 1197; Phil. 895, 1235, 1312; Oed. Col. 110, 608, 786, 1531

tertia familia (*praesertim* **Zo**)
Trach. 902, 1045; Ant. 152, 384, 864; Phil. 614, 745, 1243, 1429; Oed. Col. 250, 889, 1455, 1597, 1728

quarta familia
GQR: Phil. 11, 496, 1120
K: Oed. Col. 525, 778, 1337, 1515: hic codex formam *ποεῖν* saepe servat, aliter in codice **L** solum inventam.
S: Ant. 1289, Phil. 228(?), 496
V: Phil. 150, 650, 760

Multas bonas lectiones in codice **T** repertas hic non citamus, propterea quod Triclinius emendatorem tam fortem se praebuit ut interdum dubitari possit utrum lectio antiqua an coniectura recens nobis arrideat. cum viri docti tempore quo hanc editionem conficimus Triclinii modum operandi melius intellegere velint, in partibus lyricis collationes huius libri ampliores dedimus quam quas exegisset res mera critica.

E testimoniis haud multa discimus. Sophocles noster saepe commemoratur in opere *λεχικῶι* Suda: sed Trach. 743 et Oed. Col. 99 exceptis nihil fere praeter corruptiones novas impertit. Ant. 1167 soli servant Athenaeus et Eustathius: hic etiam *μηδ'* pro *μήτ'* ad Phil. 771. orthographiam veram tradit Photius ad Trach. 770, et ad Trach. 788 *τ'* sincerum in textu depravato Diogenes Laertius. lectionem pretiosam quam coniectura attingere non potuerimus habet Strabo ad Trach. 12–13.

In hac tertia editione textum manu paulo liberiore tractavimus ne ubi remedium excogitari posset balbutire noster lectori retardato videretur. Itemque ea spe ut optimae lectiones quas caligo oblivionis paene obrutas habebat iterum in lucem reducerentur plures coniecturas in apparatu commemorare dignavimus, quarum maiorem partem e collectione auro pretiosiore quam conflavit L. van Paassen exprompsimus.

Cantabrigiae, A. D. MCMXCIV R. D. D,

CONSPECTVS SIGLORVM

A	Paris. gr. 2712
G	Flor. Laur. conv. soppr. 152
K	Flor. Laur. 31, 10
L	Flor. Laur. 32, 9
Q	Paris. suppl. gr. 109
R	Vatic. gr. 2291
S	Vatic. Urbinas gr. 141
T	Paris. gr. 2711
U	Ven. gr. 467
V	Ven. gr. 468
Y	Vindob. phil. gr. 48
Zg	Flor. Laur. 32, 2
Zo	Vatic. Palat. gr. 287

Codex **L** ca. 950 A. D. exscriptus est, et **K** fortasse ante A. D. 1200. **G** subscriptionem A. D. 1282 exhibet, **U** A. D. 1312, eiusdemque fere aetatis esse debet **A**. saeculo quinto decimo assignantur **RY**, sexto decimo **Q**. ceteri codices saeculo quarto decimo exarati sunt, nisi forte **V** exeunte saeculo priore.

P. Berol. Inv. 17058 (Phil. 419–421, 452–454) saec. IV–V. Nihil habet commemoratu dignum: vide K. Treu, Mitteilungen aus der Ägyptischen Sammlung 8 (1974) 434 sq.

$\mathbf{B}^{ac}$	lectio codicis **B** ante correctionem
$\mathbf{B}^{pc}$	lectio codicis **B** post correctionem
$\mathbf{B}^{c}$	lectio correcta ubi $\mathbf{B}^{ac}$ dispici nequit
$\mathbf{B}^{1pc}$	correctio a prima manu illata
$\mathbf{B}^{2}$	manus altera quaelibet
$\mathbf{B}^{2pc}$	hoc siglum usurpatur ubi satis certum est lectionem correctam nec $\mathbf{B}^{1}$ nec $\mathbf{B}^{s}$ intulisse
$\mathbf{B}^{s}$	scriba scholiorum vel glossator frequens

$\mathbf{B}^{\gamma\varrho}$	varia lectio in **B** reperta, praefixis litteris *γρ.*, *γρ. καὶ*, aut formula *εὕρηται δὲ ἔν τισι* vel. sim.
$\mathbf{B}^{gl}$	glossema in **B** repertum, interdum etiam varia lectio sine *γρ.*, *γρ. καὶ* vel tali formula praefixa
B in lin.	lectio codicis **B** in linea reperta
B s. l.	lectio codicis **B** supra lineam reperta
Σ	scholia
*	rasura unius litterae
●	littera nihili
rell.	lectio omnium ceterorum codicum exceptis meris erroribus in uno vel duobus codicibus inventis
fere rell.	lectio quam vult maior pars ceterorum codicum, meris erroribus tantum suppressis qui nihil ad rem criticam conferunt
rec.	hoc siglo raro utimur ubi convenit lectiones commemorare unius vel plurium codicum quae nobis ex editionibus aliorum innotuerunt
⟨ ⟩	editoris supplementum
[ ]	verba quae editor delenda censet

ΦΙΛΟΚΤΗΤΗΣ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΟΔΥΣΣΕΥΣ
ΝΕΟΠΤΟΛΕΜΟΣ
ΧΟΡΟΣ
ΦΙΛΟΚΤΗΤΗΣ
ΕΜΠΟΡΟΣ
ΗΡΑΚΛΗΣ

ΟΔΥΣΣΕΥΣ

Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστιπτος οὐδ' οἰκουμένη·
ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφείς,
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσωι καταστάζοντα διαβόρωι πόδα,
ὅτ' οὔτε λοιβῆς ἡμὶν οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν, ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, ἰύζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
μὴ καὶ μάθηι μ' ἥκοντα, κἀκχέω τὸ πᾶν
σόφισμα τῶι νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ' ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα,
τοιάδ' ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.

codd. **LKSVGQRAUYZgZoT**

2 *ἄστιπτος* **LGQRZo** *ἄστειπτος* rell. || **6–7** invicem trai. Nauck || **6** *ἔρδειν*] *ἔργον* **G**$^{\gamma\rho}$ *ἔρδειν* codd. plerique | *ὕπο*] *πάρα* **ZgZo** || **10** *κατεῖχ'* **AUYZgZo** *κατείχετ'* rell. || **11** *ἰύζον* **QR** *ἠύζον* **G** (*στενάζον* **G**^{gl}**Q**^{gl} *στενάζων* **Q**^{gl} s. l.) *στενάζων* rell. || **16** *θ'* om. **L**^{ac}**Q**, add. **L**^{s} || **17** *αὐλίου* **G**$^{\gamma\rho}$

ἅ μοι προσελθὼν σῖγα †σήμαιν'† εἴτ' ἔχει
χῶρον προσάντη τόνδ' ἔτ', εἴτ' ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω, κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ

ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις·
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
ΟΔ. *ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.*
ΝΕ. *τόδ' ἐξύπερθε· καὶ στίβου γ' οὔδει τύπος.*
ΟΔ. *ὅρα καθ' ὕπνον μὴ καταυλισθεὶς κυρεῖ.*
ΝΕ. *ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.*
ΟΔ. *οὐδ' ἔνδον οἰκοποιός ἐστί τις τροφή;*
ΝΕ. *στιπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.*
ΟΔ. *τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;*
ΝΕ. *αὐτόξυλόν γ' ἔκπωμα, φλαυρουργοῦ τινος*
τεχνήματ' ἀνδρός, καὶ πυρεῖ' ὁμοῦ τάδε.
ΟΔ. *κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.*
ΝΕ. *ἰοὺ ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται*
ῥάκη, βαρείας του νοσηλείας πλέα.

22 *σύμαιν'* Zo *μάνθαν'* Dawe, errorem ex glossemate *σημαίνου* ortum esse ratus | *εἴτ' ἔνι* S || 23 *προσάντη* Tournier *πρὸς αὐτὸν* codd. *τὸν αὐτὸν* Blaydes | *τόνδ' ἔτ'* Elmsley om. **GRS** *τὸν δ'* **Q** *τόνδε γ'* **AUY** *τόνδ'* rell. || 24 *κλύῃς* rec. *-εις* **Q** *-οις* rell. || 25 *ἴῃ* Kammermeister *εἴη* codd. || 26 *ὦναξ* **K** | *Ὀδυσσεῦς* **Zo** || 29 *γ'* **T** *δ'* **GQRS** *τ'* rell. *'στ'* Mudge | *οὔδει* Bergk *οὐδεὶς* codd. *οὐχ εἷς* Mudge | *κτύπος* **LG**[1γρ]**QVZgZo** | *κἄστι καὶ στίβου τύπος,* eiecto *οὐδείς,* Jackson || 30 *κατακλιθεὶς* **AUYZg ZoT** | *κυρεῖ* **G**[ac], coni. Schaefer *-εῖς* **Y** *-ῇ* **G**[pc] rell. || 32 *τρυφή* Welcker || 33 *στειπτή* **VT**, **Y** s. l., Eustathius 778, 54 || 35 *γ'* om. **VT** *τ'* **GR** | *φαυλουργοῦ* **GQS** *φλαυλ-* **RYT**[pc] *φαλ-* **V**

ΟΔ. ἁνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,
κἄστ' οὐχ ἑκάς που· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾶι κηρὶ †προσβαίη† μακράν;
ἀλλ' ἢ 'πὶ φορβῆς μαστὺν ἐξελήλυθεν
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπήν,
μὴ καὶ λάθηι με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.
ΝΕ. ἀλλ' ἔρχεταί τοι καὶ φυλάξεται στίβος.
σὺ δ' εἴ τι χρήιζεις φράζε δευτέρωι λόγωι.
ΟΔ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας
γενναῖον εἶναι, μὴ μόνον τῶι σώματι,
ἀλλ' ἤν τι καινόν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύηις, ὑπουργεῖν οἷς ὑπηρέτης πάρει.
ΝΕ. τί δῆτ' ἄνωγας;
ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως δόλοισι ἐκκλέψεις, λέγων,
ὅταν σ' ἐρωτᾶι τίς τε καὶ πόθεν πάρει,
ἐγώ εἰμ' Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον·
πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,

40 *ἁνὴρ* Brunck *ἀνὴρ* codd. ‖ **42** *προστείχοι* Herwerden ‖ **43** *φορβὴν* Burges, quo accepto *νῆστις* Wecklein *φορβῆι* Schenkl | *μαστὺν* Toup *νόστον* codd. ‖ **45** *τόνδ'* Toup ‖ **47** fort. *ἕλοιτέ μ'* **L**^{ac} *ἕλοιτ' ἕμ'* Buttmann | *λαβών* **V** *μολεῖν* **AUY**: num *ἥδοιτο ... λαβών* seu *ἑλών* legendum? ‖ **48** *τοι* Blaydes *τε* codd. | *στίβον* Wakefield ‖ **53** *οἷς* Musgrave *ὡς* codd. ‖ **54–55** *δεῖν ... λέγω* Matthiae ‖ **55** *λόγοισι* codd.: corr. Gedike, qui etiam *λέγων* cum sequentibus intelligendum esse primus perspexit | *ἐκκλέψεις* **Q**^{ac} *-ῃς* **Q**^{pc} et ita fere rell. | *λέγω δ'* **Zo** ‖ **57** *ἐγώ εἰμ'* Dawe (cf. 240 sq., 585) *λέγειν* codd. ‖ **60** *οἴκου* **ZgZoT**

μόνην γ' ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων
ἐλθόντι δοῦναι κυρίως αἰτουμένωι,
ἀλλ' αὔτ' Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ' ἂν
θέληις καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτων γὰρ οὐδὲν ἀλγυνεῖ μ'· εἰ δ' ἐργάσηι
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς·
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχί, σοὶ δ' ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας οὔτ' ἔνορκος οὐδενί,
οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου,
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον·
ὥστ' εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα, καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσηι τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα, παῖ, φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά,
ἀλλ', ἡδὺ γάρ τι κτῆμα τῆς νίκης λαβεῖν,
τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα·
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ

61 *γ'* Seyffert om. AUY *δ'* rell. | *τὴν* KSVT || **63** *κυρίως τ'* Musgrave || **66** *τούτωι* Buttmann | *οὐδέμ'* L[ac], corr. L[s] | *ἀλγυνεῖ μ'* Dindorf *μ' ἀλγυνεῖ* ZgZo *μ' ἀλγυνεῖς* rell. || **67** *ἀρεῖς* Schneidewin: *ἄρηι* debuerat || **71** *τοῦδε* Zo || **73** post hunc versum *ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώιζει πόλιν* exhibet **Q** lacunam statuit Dawe, quo facilius intelligerentur casus genetivi *τοῦ πρώτου στόλου* (cf. 246 sq.) || **79** *παῖ* Erfurdt *καὶ* codd. || **80** *τοιαῦθ' ὑφαίνειν* Mehler || **81** *τι*] *τοι* AUY | *χρῆμα* K, coni. Tournier || **82** *θ'* LK *τ'* VT || **83** *ἀναιδοὺς* V

δός μοι σεαυτόν, κᾆιτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.

ΝΕ. ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτός, οὔθ', ὥς φασιν, οὑκφύσας ἐμέ.
ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν
καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοι ξυνεργάτης ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.

ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;

ΟΔ. λέγω σ' ἐγὼ δόλωι Φιλοκτήτην λαβεῖν.

ΝΕ. τί δ' ἐν δόλωι δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;

ΟΔ. οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.

ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;

ΟΔ. ἰούς γ' ἀφύκτους καὶ προπέμποντας φόνον.

ΝΕ. οὐκ ἆρ' ἐκείνωι γ' οὐδὲ προσμεῖξαι θρασύ;

ΟΔ. οὔ, μὴ δόλωι λαβόντα γ' ὡς ἐγὼ λέγω.

87 *πλάσσειν* Richter || **88** *κακῶς* **QZg**, **T** s.l. *κακά* **Zo** *κακοῖς* **S** || **92** *τοσούτους* **Q** || **97** *ἀργήν* **G**^{pc}**QSV**, Eustathius 486, 26 et 779, 17 | *ἐργάτην* **GQU**^{ac}**Zo** et Suda codd. AIV 1, 528, 4 *ἐργάνην* Blomfield || **98** *βροτοῖς ὁρῶ* **GRS** || **100** *μ'* om. **Q**^{ac} | *τί μ' οὖν* Wakefield || **105** *γ'* om. codd.: add. Dobree || **106** *οὐκ ἆρ'*] *οὐκοῦν* **V** | *γ'* om. **QSV** | *οὔτε* **L** || **107** *λαθόντα* Blaydes

ΝΕ. οὐκ αἰσχρὸν ἡγῆι δῆτα τὰ ψευδῆ λέγειν;
ΟΔ. οὐκ εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λακεῖν;
ΟΔ. ὅταν τι δρᾶις εἰς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον ἐς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἆρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἴμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρίς, οὔτ' ἐκεῖνα σοῦ.
ΝΕ. θηρατέ' ἂν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἔρξας δύο φέρηι δωρήματα.
ΝΕ. ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔ. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇι' ἅμα.
ΝΕ. ἴτω· ποήσω, πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔ. ἦ μνημονεύεις οὖν ἅ σοι παρήινεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνήινεσα.
ΟΔ. σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου,
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν·
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν

108 *δῆτα τὰ*] *τάδε* L^{ac} *δὴ τάδε* L^{pc}V *δὴ τὰ* **K** *δῆτα τὸ* Vauvilliers || **110** *λακεῖν* **L** *λαβεῖν* S^{ac}Zo *λαλεῖν* S^{pc} rell. || **111** *ἐς* **AUY** *πρὸς* **VT** *εἰς τὸ* Zo om. **K** || **112** *δέ μοι* **AUY** | *ἐς* **LVA UYT** *εἰς* rell. || **114** *πέρσων γ'* **AUY** *πέρσων σφ'* Burges | *ἔφασκες* **GR**, verum novit $G^{γρ}$ || **116** *θηρατέ' ἂν* Elmsley *θηρατέ' οὖν* T *θηρατέα γοῦν* Zo *θηρατέα* rell. | *γένοιτ'* ZgZoT || **118** *τὸ μὴ δρᾶν* **GR** *τὸ μή* Blaydes || **119** *αὐτὸς* codd.: corr. Vauvilliers | *κεκλῇι'* Zo *κέκλη∗'* Zg *κυκλῆς* **R** *κέκλησ'* rell. || **120** *ποήσω* **L** *ποιήσω* rell. || **121** *μνημονεύσεις* Herwerden || **122** *ξυν-* ZgT || **123** *νυν* om. **GQR** | *ἐκεῖνον* **GQRT**: *σύ νυν μένων ἐκεῖνον* Blaydes || **126** *δοκῆτέ τι* **KSZgZo** *δοκῆτ' ἔτι* rell. || **127** *αὖτις* **LV**

τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόποις
μορφὴν δολώσας, ὡς ἂν ἀγνοία προσῆι.
οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένου
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
  ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε.
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῶιν
Νίκη τ' Ἀθάνα Πολιάς, ἣ σώιζει μ' ἀεί.

ΧΟΡΟΣ

τί χρή, τί χρή με, δέσποτ', ἐν ξέναι ξένον στρ. α
στέγειν ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι·
τέχνα γὰρ τέχνας ἑτέρας
προύχει καὶ γνώμα παρ' ὅτωι τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται·
σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθεν
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
  τί σοι χρεὼν ὑπουργεῖν.

ΝΕ. νῦν μέν, ἴσως γὰρ τόπον ἐσχατιᾶς
προσιδεῖν ἐθέλεις ὅντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόληι
δεινὸς ἱδρυτὴς τῶνδε μελάθρων,

128 *τρόπον* **ZgZoT** || 129 *ἀγνοίαι* **KSYT**, fort. v.l. in **U** || 134 *Ἀθάνα* **GQ**^c^**RS**, Eustathius 758, 44 *Ἀθηνᾶ* rell. | versum del. Harberton || 135 *τί χρή* semel **GQRS** | *με δέσποτ'* **T** *δέσποτ'* **K**^ac^ *δέσποτά μ'* **K**^pc^ rell. || 139 *γνώμα* **AUYZg** *γνώμας* **LS VT** *γνώμα γνώμας* **KGRZo** *γνώμη γνώμας* **Q** || 141 *εἰς σε δ'* **Q** *σοὶ δέ*, omisso *ὦ*, **T** | *ἐπήλυθεν* Hartung || 142 *τῶ* **GQ**^pc^**R**, *τ* ex *π* fecit **Q**^1^ || 144 *ἴσως γὰρ*] *γὰρ ἴσως* **GS**, coni. Herwerden *ἴσως* **QR** | *ἐσχατιᾶς* **GQRT** *ἐσχατιαῖς* rell. || 147 *ὁδίτης τῶνδ' ἐκ μελάθρων* codd.: corr. Dawe: cf. *ἱδρῦσθαι* Trach. 68 | *τῶνδ' οὐκ* Linwood

πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν
πειρῶ τὸ παρὸν θεραπεύειν.

ΧΟ. μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ, ἀντ. α
φρουρεῖν ὄμμ' ἐπὶ σῶι μάλιστα καιρῶι·
νῦν δέ μοι
λέγ' αὐλὰς ποίας ἔνεδρος
ναίει καὶ χῶρον τίν' ἔχει· τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθηι ποθέν·
τίς στίβος ἢ τίς ἕδρα; τίν' ἔχει τόπον,
ἔναυλον ἢ θυραῖον;

ΝΕ. οἶκον μὲν ὁρᾶις τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.
ΧΟ. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν;
ΝΕ. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείαι
στίβον ὀγμεύει τῆιδε πέλας που·
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς, σμυγερὸν σμυγερῶς,
οὐδέ τιν' αὐτῶι
παιῶνα κακῶν ἐπινωμᾶν.

150 *ἄναξ* **VT** *τοσὸν ἄναξ* **Q** *ἄναξ τὸ σὸν* rell., et legit **ΣΤ** || **156** *προσπεσὼν* post *λάθηι* collocant codd.: corr. Hermann || **157** *τίς τόπος ἢ τίς ἕδρα; τίν' ἔχει στίβον* codd.: corr. Herwerden || **158** *ἔναυλος ἢ θυραῖος* Porson ex Thom. Mag. 138, 5 || **161** *τλάμων* **GR** || **163** *τῆιδε* Blaydes *τήνδε* **G**$\mathbf{Q^{pc}}$**R**, et Suda cod. V 3, 507, 8 *τῶνδε* **V** *τόνδε* $\mathbf{Q^{ac}}$ rell. || **166** *στυγερὸν στυγερῶς* codd.: corr. Brunck *ἐπιμόνως* (pro *ἐπιπόνως*) **Σ**, et textui add. **G** *μογερὸν μογερῶς* Blaydes || **167** *αὐτῶι* **LSAUY** *αὐτῶι* rell.

ΧΟ. οἰκτίρω νιν ἔγωγ', ὅπως στρ. β
μή του κηδομένου βροτῶν
μηδὲ σύντροφον ὄμμ' ἔχων
δύστανος, μόνος αἰεί,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τωι
χρείας ἱσταμένωι· πῶς ποτε, πῶς
δύσμορος ἀντέχει;
ὦ παλάμαι θεῶν,
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.

οὗτος πρωτογόνων ἴσως ἀντ. β
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίωι
κεῖται μοῦνος ἀπ' ἄλλων,
στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
λιμῶι τ' οἰκτρός, ἀνήκεστ' ἀμερίμ-
νητά τ' ἔχων βάρη.
ἁ δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικραῖς
οἰμωγαῖς ὑπακούει.

169 *οἰκτείρω* ut solent codd. || **171** *μὴ δὲ* AUYZgZo *μὴ δ' αὖ* T *μὴ* rell. | *ξύντροφον* Brunck || **172** *αἰεί* T *ἀεί* rell. || **177** *θεῶν* Lachmann *θνητῶν* codd. || **179** *οἷσι* Suda 4, 5, 14 || **181** *ἥκων* Suda cod. E 3, 236, 15 || **184** *μέτα* codd. || **186** sq. *ἀνήκεστα μεριμνήματ' ἔχων* codd.: corr. Page || **187** sq. *βάρη. ἁ δ'* Hermann *βαρεῖα δ'* codd. || **188** *ἀθυρόγλωσσος* metri gratia Musgrave: cf. 176 || **189** sq. *πικρᾶς οἰμωγᾶς* codd.: corr. Ast | *ὑπακούει* Dorat *ὑπόκειται* codd.

ΝΕ. οὐδὲν τούτων θαυμαστὸν ἐμοί·
θεῖα γάρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφρονος Χρύσης ἐπέβη·
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔσθ' ὡς οὐ θεῶν του μελέτηι,
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίαι
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ' ἐξήκοι χρόνος ὧι λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.

ΧΟ. εὔστομ' ἔχε, παῖ.
ΝΕ. τί τόδε; στρ. γ
ΧΟ. προυφάνη κτύπος
φωτὸς σύντροφος ὡς τειρομένοιο,
ἤ που τῆιδ' ἢ τῆιδε τόπων·
βάλλει, βάλλει μ' ἐτύμα
φθογγά του στίβον κατ' ἀνάγ-
καν ἕρποντος, οὐδέ με λά-
θει βαρεῖα τηλόθεν αὐ-
δὰ τρυσάνωρ· διάσημα γὰρ θρηνεῖ.

193 *παθήματ' ἐκεῖνα* codd.: corr. Brunck || **196** *ἔσθ' ὡς* Porson *ἔστιν ὅπως* **T** *ἔσθ' ὅπως* rell. | *οὐ*] | *μὴ* **Zo** | *του* om. **T** *που* **Q**^{ac} || **197** *Τροίαν* **GRSZgZoT** *Τροίας* v. l. in **A** || **199** *ἐξήκοι* **LKSAUY** *ἐξήκει* **ZgZoT** *ἐξίκοι* **V** *ἐξίκοιτο* **GQR** *ἐξήκηι* Schaefer || **200** *χρῆναι* **AUYT** *χρήν* **L**^{ac}**GSV** *χρῆν* **KQRZgZo** || **203** *τειρομένοιο* Bergk *τειρεομένου* **T** *τειρομένου* rell., post quod *του* suppl. Porson || **204** sq. Neoptolemo trib. codd.: corr. Hermann || **205** *ἐτύμα* **GVZgZoT** *ἑτοίμα* rell. || **206** *τοῦ* codd. plerique | *στίβον* **GQRST**, v. l. in **U** *στίβου* rell. || **207** *λάθει* **LKSZoT** *λήθει* **QRAUYZg** *λάθη* **GV** *λήθη* **R**^{1} s. l. || **209** *θρηνεῖ* Wunder *θροεῖ* codd., quod ante *γὰρ* collocat **T**: cf. 218 et app. crit. ad Ai. 582

ΧΟ. ἀλλ' ἔχε, τέκνον... ἀντ. γ
ΝΕ. λέγ' ὅ τι.
ΧΟ. φροντίδας νέας·
ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ,
οὐ μολπὰν σύριγγος ἔχων,
ὡς ποιμὴν ἀγροβάτας,
ἀλλ' ἤ που πταίων ὑπ' ἀνάγ-
κας βοᾶι τηλωπὸν ἰω-
άν, ἢ ναὸς ἄξενον αὐ-
γάζων ὅρμον· προβοᾶι τι γὰρ δεινόν.

ΦΙΛΟΚΤΗΤΗΣ
ἰὼ ξένοι·
τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλωι πλάτηι
κατέσχετ' οὔτ' εὔορμον οὔτ' οἰκουμένην;
ποίας πάτρας ἂν ἢ γένους ὑμᾶς ποτε
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνωι
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον,
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,

211 *ἀνήρ* codd. || **213** *μολπὰς* **T** | *σύριγγι χέων* Blaydes || **214** *ἀγροβότας* **RAUYZoT**, fort. $\mathbf{G}^{ac}$ || **216** *τηλωπὰν* **AUY** *τηλωπὴν* **V** *τὸ λοιπὸν* **Zo** || **218** *τι γὰρ* Wunder *γάρ τι* codd. | *τι γὰρ αἰνόν* Burges: cf. 209 || **219** sq. *ἰὼ ξένοι ναυτίλωι κώπηι τῆι πλάτηι προσωρμίσατε* **K** || **220** *ναυτίλωι πλάτηι* $\mathbf{AUYS}^{\gamma\rho}\mathbf{Zo}$ *κἀκ ποίας πάτρας* (*πέτρας* **GR** *πάτρας* $\mathbf{G}^{1\gamma\rho}$) rell. | *προσωρμίσατε* $\mathbf{S}^{gl}$ post *ναυτίλωι πλάτηι* ($\mathbf{S}^{\gamma\rho}$) || **222** *ἂν ἢ γένους ὑμᾶς* **T** *ὑμᾶς ἂν ἢ γένους* **AUY** *ἂν ὑμᾶς ἢ γένους* rell. (*καὶ* pro *ἢ* **Zg**) | *ποίας ἂν ὑμᾶς πατρίδος* Dindorf || **227** *δύσμορον* $\mathbf{Q}^{2\gamma\rho}\mathbf{Q}^{2pc}$

ἔρημον ὧδε κἄφιλόν γ' ἀλώμενον,
φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ' οὔθ' ὑμᾶς ἐμοῦ.
ΝΕ. *ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα*
Ἕλληνές ἐσμεν· τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙ. *ὦ φίλτατον φώνημα· φεῦ, τὸ καὶ λαβεῖν*
πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνωι μακρῶι.
τίς σ', ὦ τέκνον, προσέσχε, τίς προσήγαγεν
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.
ΝΕ. *ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου*
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος· οἶσθ' ἤδη τὸ πᾶν.
ΦΙ. *ὦ φιλτάτου παῖ πατρός, ὦ φίλης χθονός,*
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλωι προσέσχες τήνδε γῆν, πόθεν πλέων;
ΝΕ. *ἐξ Ἰλίου τοι δὴ τανῦν γε ναυστολῶ.*
ΦΙ. *πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης*
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ. *ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;*

228 *γ' ἀλώμενον* Toup (*μ' ἀλω-* iam Bentley) *καλώμενον* **S** *καλούμενον* rell. *κακούμενον* Morell, quo recepto *κἀφίλως* Erfurdt || **229** *προσήκατε* **GRSZoT** || **230** *ἀνταμείβεσθ'* L^{s} s. l. || **231** *τοῦτό γ'*] *τούτου* **V** *τοῦδέ γ'* Matthaei || **236** *τίς σ'*] *τίς* **U** *τί σ'* Wakefield, fort. Zo^{ac} | *ποτ' ἔσχε* Blaydes || **237** *ἀνέμων* **QAUY**, Suda 4, 223, 20 cod. A *δ' ἀνέμων* rell., Suda codd. GMV, Eustath. 1717, 58 | *ὦ φίλτατος* (seu *-ε*); Reiske *ἀνέμων; ὦ φίλτατος* (seu *-ε*) Blaydes || **241** *οἶσθα δὴ* **A** || **244** *πλέων πόθεν* **VZgZoT** || **245** *δὴ τανῦν* Buttmann *δῆτα νῦν* codd. || **246** *δὴ* om. **GVZgT**, ante *γὰρ* habuit L^{ac}: dein *δὴ* quasi v. l. supra *γὰρ* add. L^{s}

ΦΙ. *ὦ τέκνον, οὐ γὰρ οἶσθά μ' ὅντιν' εἰσορᾷς;*
ΝΕ. *πῶς γὰρ κάτοιδ' ὅν γ' εἶδον οὐδεπώποτε;*
ΦΙ. *οὐδ' ὄνομ' ἄρ' οὐδὲ τῶν ἐμῶν κακῶν κλέος*
ἤισθου ποτ' οὐδέν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ. *ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνιστορεῖς.*
ΦΙ. *ὢ πόλλ' ἐγὼ μοχθηρός, ὢ πικρὸς θεοῖς,*
οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἴκαδε
μηδ' Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ πω,
ἀλλ' οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ
γελῶσι σῖγ' ἔχοντες, ἡ δ' ἐμὴ νόσος
ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ' εἴμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς, Φιλοκτήτης, ὃν οἱ
δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίαι
νόσωι καταφθίνοντα, τῆς ἀνδροφθόρου
πληγέντ' ἐχίδνης ἀγρίωι χαράγματι·
ξὺν ἧι μ' ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ὤιχοντ' ἔρημον, ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτηι στόλωι.

249 *μ'*] *γ'* **GR** || **250** *γ'* om. **QVT** *δ'* **Zo** || **251** *οὐδ' ὄνομ' ἄρ'* Erfurdt *οὐδ' οὔνομ'* **A**U^{pc}**ZoT** *οὐδ' ὄνομ'* U^{ac} rell. *οὐδ' ὄνομά γ'* Bothe *οὐ τοὔνομ'* Burney | *κλέος κακῶν* **Zg** *κακῶν φήμην* s. l. in **AUY** || **252** *ἐγὼ*] *κακῶς* **Zo**$T^{γρ}$ || **253** *ἀνιστορεῖς* **KAU YZo** *ἂν ἱστορεῖς* **LGR**, fort. S^{ac} *ἱστορῇς* **Q** vel Q^{c} *ἂν ἱστορῇς* S^{c}**VZgT** || **254** *ὢ … ὢ* Q^{pc}**Zo** *ὢ … ὡς* **GRS** *ὡς … ὡς* Q^{ac} *ὦ … ὦ* rell. | *πικρὸς*] *ἐχθρὸς* $S^{γρ}$ || **256** *μήθ'* **AUY** | *μηδαμῆι* Dawe | *πω* **V** *που* rell. || **260** *οὐξ* **ZgZoT** || **265** *ἀθλίαι* Wakefield || **266** *τῆς* Zo^{pc}, coni. Dorat *τῆς τ'* **Q** *τῆσδ'* rell. *τῆιδ'* Musgrave || **267** *φοινίωι* Schneidewin: cf. Eustath. Opusc. 324, 60 || **268** *με κεῖνοι* **ST** | *προέντες* Mekler

τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ' ἐπ' ἀκτῆς ἐν κατηρεφεῖ πέτραι
λιπόντες ᾤχονθ', οἷα φωτὶ δυσμόρωι
ῥάκη προθέντες βαιά, καί τι καὶ βορᾶς,
ἐπωφέλημα σμικρόν· οἷ' αὐτοῖς τύχοι.
σὺ δή, τέκνον, ποίαν μ' ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι τότε,
ποῖ' ἐκδακρῦσαι, ποῖ' ἀποιμῶξαι κακά,
ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν
πάσας βεβώσας, ἄνδρα δ' οὐδέν' ἔντοπον,
οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσου
κάμνοντι συλλάβοιτο; πάντα δὲ σκοπῶν
ηὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν,
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος νυν διὰ πόνου προὔβαινέ μοι,
κἄδει τι βαιᾶι τῆιδ' ὑπὸ στέγηι μόνον
διακονεῖσθαι· γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξηύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνον ἐξέλκων πόδα

271 *ἄσμενόν* L. Dindorf || 272 *ἀκτῆς τ'* **VT** | *πέτραι* **Q**, coni. Blaydes *πέτρωι* rell. || 275 *μικρόν* **Q** || 276 *οὗ δή* Kvíčala || 277 *τότε*] *τότε ποτέ* **V** || 278 *ποῖά μ' οἰμῶξαι* **Zo**, vult **T** *ποῖ' ἂν οἰμῶξαι* **Q** *ποῖ' ἀνοιμῶξαι* Schubert || 281 *οὐχ*] *οὐδ'* **K** | *νόσον* **Zg** *νόσωι* **T** || 282 *συλλάβοιτο* $\mathbf{L^{s}}$ s. l., **KAUYZoT**, $\mathbf{Q^{gl}}$ *συμβάλλοιτο* $\mathbf{L^{ac}R^{ac}V}$ *συμβάλοιτο* $\mathbf{L^{pc}GR^{pc}QSZg}$ (*λάβοιτο* $\mathbf{Q^{gl}Zg^{gl}}$) || 285 *νυν* Wecklein et Blaydes *δὴ* **AUY** *οὖν* rell. | *πόνου* Nauck *χρόνου* codd. || 286 *βαιᾶι* **KGQRST** *βαιῆι* rell., sed vers. om. **Zo** || 288 *ἐξεύρισκε* **GQRAUY** *εὕρισκε* rell. || 289 *βάλον* **T** || 290 *τάλας*] *ποσὶν* **Σ** ad v. 702, omisso *αὐτὸς* || 291 *δύστηνον* Canter *-ος* codd., **Σ** ad v. 702, Suda 1, 407, 3

πρὸς τοῦτ' ἄν. εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,
ξύλον τι θραῦσαι, τοῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων μόλις
ἔφην' ἄφαντον φῶς· ὃ καὶ σώιζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ' ἐκπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ', ὦ τέκνον, νῦν κἂν τὸ τῆς νήσου μάθοις·
ταύτηι πελάζει ναυβάτης οὐδεὶς ἑκών·
οὐ γάρ τις ὅρμος ἐστίν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος ἢ ξενώσεται.
[οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν.]
τάχ' οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
ἐν τῶι μακρῶι γένοιτ' ἂν ἀνθρώπων χρόνωι.
οὗτοι μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μέν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτίραντες ἤ τινα στολήν·
ἐκεῖνο δ' οὐδείς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
σῶσαί μ' ἐς οἴκους, ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῶι τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.

292 *ποτοῦ* Burges || **294** *ξύλων* rec. *ξύλου* Blaydes | *τάλας*] *τάχα* **K** || **296** *πέτρῃσι* **Zo** *πέτρῳ* **V** | *ἐκθλίβων* **LKGRS**, Zonaras 354: verum **L**^{s} s.l. *ἐντρίβων* Blaydes || **297** *φῶς*] *πῦρ* **ZgT**^{γρ}: *ἄφαντον πῦρ κατὰ τὴν τραγωιδίαν* Eustathius 1149, 52 || **299** *ἐμέ*] *τινά* Gernhard || **300** *ὦ*] *οὖν* **V** | *νυν* **T** (*δὴ* **T**^{gl}) | *κἂν* ... *μάθοις* Seyffert *καὶ* ... *μάθοις* **ZgT** *καὶ* ... *μάθε* **Zo** *καὶ* ... *μάθῃς* rell. || **302** *ὅπῃ* **Zg** || **304** del. Bergk || **305** *οὖν*] *ἂν* Hermann || **306** *ἀνθρώπωι* v.l. in **A**, coni. Blaydes || **313** *τήνδ'* Blaydes

τοιαῦτ' Ἀτρεῖδαί μ' ἥ τ' Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ'· οἷ' Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.
ΧΟ. *ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα*
ξένοις ἐποικτίρειν σε, Ποίαντος τέκνον.
ΝΕ. *ἐγὼ δὲ καὐτὸς τοῖσδε μαρτυρεῖν λόγοις,*
ὡς εἴσ' ἀληθεῖς, οἶδ', ἴσων τυχὼν κακῶν.
[ἀνδρῶν Ἀτρειδῶν τῆς τ' Ὀδυσσέως βίας.]
ΦΙ. *ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις*
ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;
ΝΕ. *θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,*
ἵν' αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ' ὅτι
χἠ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙ. *εὖ γ', ὦ τέκνον· τίνος γὰρ ὧδε τὸν μέγαν*
χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
ΝΕ. *ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ' ἐρῶ,*
ἅγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών·
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν…
ΦΙ. *οἴμοι· φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω*
πρῶτον τόδ'· ἦ τέθνηχ' ὁ Πηλέως γόνος;
ΝΕ. *τέθνηκεν, ἀνδρὸς οὐδενός, θεοῦ δ' ὕπο,*
τοξευτός, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙ. *ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χὡ θανών.*
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν

315 *οἷ'* Porson *οἷς* codd. ‖ **316** *ἀντίποιν'* **QAUY**T^{ac} *ἀντ' ἀπ-* G^{ac} *ἀντάποιν'* $G^{pc}T^{pc}$ rell. ‖ **319** *μαρτυρεῖν* Fröhlich *μαρτὺς τοῖς* **Q** *μαρτὺς ἐν* rell. *μαρτὺς ὢν* Gernhard | *λόγωι* L^1 s. l., **T** ‖ **320** *οἶδ', ἴσων τυχὼν* Dawe *οἶδα γὰρ τυχὼν* **Zo** *οἶδα συντυχὼν* rell. ‖ **320** sq. *κακοῖν ἀνδροῖν Ἀτρείδαιν τῆι τ' Ὀδυσσέως βίαι* Toup ‖ 321 eiecit West ‖ **324** *θυμῶι … χεῖρα* codd.: corr. Lambin ‖ **326** *γενναίων* **GR** ‖ **327** *ὧδ' ἔχων μέγαν* Erfurdt ‖ **331** *παθεῖν* **K** ‖ **332** *φράσεις* **KSQZo** ‖ **333** *ἦ* **LKGVZoT** *ὦ* **S** *εἰ* G^1 s. l., **QRAUYZg**

πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
ΝΕ. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
ἀλγήμαθ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
ΦΙ. ὀρθῶς ἔλεξας· τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ' ὅτωι σ' ἐνύβρισαν.
ΝΕ. ἦλθόν με νηὶ ποικιλοστόλωι μέτα
δῖός τ' Ὀδυσσεὺς χὠ τροφεὺς τοὐμοῦ πατρός,
λέγοντες, εἴτ' ἀληθὲς εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμός, τὰ πέργαμ' ἄλλον ἢ 'μ' ἑλεῖν.
ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντας οὐ πολὺν
χρόνον σφ' ἐπέσχον μή με ναυστολεῖν ταχύ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρωι,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίαι πέργαμ' αἱρήσοιμ' ἰών.
ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ 'π' ἀκρὸν Σίγειον οὐρίωι πλάτηι
κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλωι στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκέτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος
ἐπεὶ 'δάκρυσα κεῖνον, οὐ μακρῶι χρόνωι

338 *πρότερον* Naber, quod pro *πότερον* in v. 337 habet **V** || **342** *ὅτωι σ'*] *ὅπως* **GR** *ὅπω σ'* **Q**^{c} || **343** *με* **LAUYZg**^{pc}**T** *μὲν* **KGQRSVZg**^{ac}**Zo** | *ποικιλοστόμωι* **L**^{ac}**A** || **344** *δῖός*] *δόλιός* Valckenaer | *τροφὸς* **G**^{γρ}**RT** || **347** *ἤ μ'* **LGQR** *ἢ 'μ'* **AUYT** (*ἢ ἐμὲ* **T**^{gl}) *ἤ μ'* rell. || **348** *ἐννέποντας* Dawe *-τες* codd. || **349** *σφ'* Page *μ'* (om. **VZo**) codd. | *ἔπασχον* **AUY**, coni. Schneider | *μὴ οὔ με* Seyffert | *τάχα* **GR** || **355** *'π' ἀκρὸν* Burges *πικρὸν* codd. || **360** *'δάκρυσα* **T** *δάκρυσα* rell.

ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς τά τ' ἄλλ' ὅσ' ἦν.
οἱ δ' εἶπον, οἴμοι, τλημονέστατον λόγον·
ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷι' ἑλέσθαι, τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος.
κἀγὼ δ' ἀκούσας εὐθὺς ἐξανίσταμαι
ὀργῆι βαρείαι, καὶ καταλγήσας λέγω·
ὦ σχέτλι', ἦ 'τολμήσατ' ἀντ' ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμά, πρὶν μαθεῖν ἐμοῦ;
ὁ δ' εἶπ' Ὀδυσσεύς, πλησίον γὰρ ὢν κυρεῖ·
ναί, παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε·
ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἁξήκουσεν ὧδ' ἠμείψατο·
οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει·
καὶ ταῦτ', ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσηις ἔχων.
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ
πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
[κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐν τέλει·

361 *προσφιλῶς* **R**, coni. Bothe *πρὸς φίλως* **Q**pc *προσφιλὴς* **G** s. l. ‖ **363** *ὁ δ' εἶπεν* **V** ‖ **366** *Λαρτίου* **QT** ‖ **367** *δ' ἀκούσας* Bothe *'κδακρύσας* Par. gr. 2787 (= **Zn**) *δακρύσας* rell. ‖ **369** *ὦ σχέτλι' οἱ* (vel *οἵ*) **Q**pc *ὦ σχέτλιοι* Musgrave ‖ **371** *κύρει* codd.: corr. Porson ‖ **376** *μου* **Q**, et s. l. **GR** ‖ **381** *εἰς* **QR** ‖ **384** aut delendum aut ante v. 383 collocandum censet Dawe ‖ **385–388** del. Reeve: 387–388 iam Polle

πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν
διδασκάλων λόγοισι γίγνονται κακοί.]
λόγος λέλεκται πᾶς· ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.

ΧΟ. ὀρεστέρα παμβῶτι Γᾶ, στρ.
μᾶτερ αὐτοῦ Διός,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ, μᾶτερ πότνι', ἐπηυδώμαν,
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν
ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύχεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων
λεόντων ἔφεδρε, τῶι Λαρτίου,
σέβας ὑπέρτατον.

ΦΙ. ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,
καί μοι προσάιδεθ' ὥστε γιγνώσκειν ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσηι θιγόντα καὶ πανουργίας ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλοι ποεῖν.
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ', ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.

388 *τρόποισι* ut vid. legit Nicolaus Progymn. apud Walz Rhet. Graec. 1, 294 || **395** *ἐξηυδώμαν* **T** || **399** *παραδίδοσαν* **LSV** || **401** *Λαρτίου* **GQRV** *Λαερτίου* rell. || **402** *γέρας* Nauck || **405** *προσάδεσθ'* **GQR** || **407** *κακοῦ λόγου* **Q** || **409** *μέλλοι* **LS** *μέλοι* **GQ** *μέλλει* G^1 s. l., rell. | *ποεῖν* L^{ac}**KGR** *ποιεῖν* rell. || **411** *ὁρᾶν* **S** | *ἠνέσχετο* Porson

ΝΕ. οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.
ΦΙ. πῶς εἶπας; ἀλλ' ἦ χοὖτος οἴχεται θανών;
ΝΕ. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
ΦΙ. οἴμοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,
οὐδ' οὑμπολητὸς Σισύφου Λαερτίωι,
οὐ μὴ θάνωσι· τούσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕ. οὐ δῆτ', ἐπίστω τοῦτό γ', ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῶι.
ΦΙ. τί φὼς παλαιός, ἀγαθὸς φίλος τ' ἐμός,
Νέστωρ ὁ Πύλιος, ἔστιν; οὗτος γὰρ τά γε
κείνων κάκ' ἐξήρυκε, βουλεύων σοφά.
ΝΕ. κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν
Ἀντίλοχος αὐτῶι φροῦδος, ὅσπερ ἦν γόνος.
ΦΙ. οἴμοι· † δύ' αὕτως δείν' ἔλεξας † οἷν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν

413 *ταῦτ'*] *τἄμ'* Nauck ‖ **414** *ἀλλ' ἦ*] *ἦ* **LKV** *ἦ γὰρ* Seyffert ‖ **415** *ὄντ' ἐκεῖνον* **Zg** ‖ **417** *Λαερτίωι* **Zo**^{pc}, s. l. **AUY** *Λαερτίου* **L**^{c}**Zo**^{ac} rell. ‖ **420** *Ἀργείωι* **LSZoT** ‖ **421** *φὼς* Rappold *δ' ὃς* **AUY** *δ' ὦ* **L**^{ac} *δ' ὦ* **L**^{1pc}**K**^{pc}**T** *δ' ὁ* **L** s. l., **K**^{ac}**SVZgZo** *δ' αὖ* Hermann *χὠ* Dawe | *ἀγαθὸς* Dawe *κἀγαθὸς* codd. | *τ'* om. **RZgZo** | *ἐμοὶ* **Zo** ‖ **422** *τά γε*] *τάδε* **U**^{ac}**Zo**^{ac} *τάχα* **GR** *τάχ' ἂν* Hermann ‖ **423** *κάκ'*] *τάδ'* **GR** *ἂν* Nauck | *κάκ' ἐξεκήρυκε* **A** *κἀξεκήρυξεν* **L**^{γρ}**S**^{γρ} *κἀκεξήρυκε* **V**^{ac} *κἀξεκήρυξε* **V**^{pc} *κἀξήρυκε* **V**^{γρ} | *σοφά* **LKSQ**^{pc}**ZoT** *σοφῶς* **GQ**^{ac}**AUYZgT**^{gl} *σαφῶς* **RV** et *σοφῶς* et *σαφῶς* **S**^{γρ} ‖ **424** *πράσσειν ἦν* **A** *πράσσων ἦν* Blaydes ‖ **425** *μόνος* **Q**^{c}, novit **Σ** ‖ **426** *δύ' αὕτως* (*αὔτως* **L**^{ac}) *δεὶν' * * ἔλεξας* **L** *δύ' αὐτὼ δ' ἐξέδειξας* **L**^{γρ}**S**^{γρ} *δύ' αὕτως δείν' ἔλεξας* rell. *δύ' αὖ τώδ'* (Porson) *ἐξέλεξας* (Bergk) Danielsson *δύ' αὖ τώδ' ἄνδρ' ἔλεξας* Jebb et Blaydes

τεθνᾶσ', Ὀδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ', ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαὶ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.
ΦΙ. φέρ' εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χοὖτος τεθνηκὼς ἦν. λόγωι δέ σ' ἐν βραχεῖ
τοῦτ' ἐκδιδάξω· πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσηι δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ.
ΝΕ. ποίου δὲ τούτου πλήν γ' Ὀδυσσέως ἐρεῖς;
ΦΙ. οὐ τοῦτον εἶπον, ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου
μηδεὶς ἐῶν ἦν· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕ. οὐκ εἶδον αὐτός, ἠισθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέν πω κακῶν γ' ἀπώλετο,
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου· τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.

429 *οὐκ ἐνταῦθ'* Bothe ‖ **434** *σοῦ* Hemsterhuys *σοι* codd. ‖ **435** *σ' ἐν* Erfurdt *σε* codd. ‖ **437** *αἱρεῖ* Zo, Suda 2, 178, 13 *αἵρει* **KV** *αἴρει* rell. ‖ **441** *δὲ* **GR** *γε* **QZgZoT** *τε* rell. | *τοῦτο* Brunck | *γ'* om. **Q** | *λέγεις* **Zo** ‖ **444** *ἐῶν ἦν* Dawe *ἐῶν* **R** *ἐὼν* **LQV** *ἐώιη* $\mathbf{L}^{2\gamma\rho}$ rell. ‖ **445** *αὐτός* Burges *αὐτόν* codd. ‖ **446** *ἐπεί γ'* **ZgZoT** | *οὐδέν πω* rec. *οὔπω* **ZgT** *οὐδέπω* rell. | *κακόν* codd.: corr. Wakefield | *πῶς* (*ὡς* GM *πρὸς* F) *οὐδὲν κακὸν ἀπώλετο* Suda 4, 12, 5 ‖ **450** *ἀπαγγέλλουσ'* volunt Suda GB

ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. *ἐγὼ μέν, ὦ γένεθλον Οἰταίου πατρός,*
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορᾶν φυλάξομαι·
ὅπου θ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει,
κἀποφθίνει τὰ χρηστά, χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπόν, ὥστε τέρπεσθαι δόμωι.
νῦν δ' εἶμι πρὸς ναῦν· καὶ σύ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν, ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκηι, τηνικαῦθ' ὁρμώμεθα.
ΦΙ. *ἤδη, τέκνον, στέλλεσθε;*
ΝΕ. *καιρὸς γὰρ καλεῖ*
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
ΦΙ. *πρός νύν σε πατρός, πρός τε μητρός, ὦ τέκνον,*
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλές,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπηις μ' οὕτω μόνον,
ἔρημον ἐν κακοῖσι τοῖσδ' οἵοις ὁρᾶις
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργωι θοῦ με. δυσχέρεια μέν,

452 *ἐρευνῶν* Hartung *ἐπαθρῶν* Postgate | *κακὰς* Q^{ac} (*γρ. κακοὺς* Q^{2pc}) *κακά* Musgrave ‖ **455** *εἰσορᾶν* **GQR** *εἰσορῶν* rell. ‖ **456** *θ'*] *γ'* L^{s} s. l., **GSVZgZoT** *δ'* Hermann *τοι* gl. in **AUY** | *τὸ χεῖρον* Nauck ‖ **457** *δεινὸς* codd.: corr. Brunck ‖ **459** *πατρώια* G^{pc}**R** *-ῶα* G^{ac} ‖ **460** *μόνωι* Suda 4, 429, 21 ‖ **465** *πλεῖν* Jebb | *εἴκηι* **VAUYZgT** *εἴκη* **Zo** *ἥκη* **L** *ἥκει* **GS** *ἵκει* **R** *ἴκη δὲ* **Q** *εἴν* **K** ‖ **468** *νῦν τε* **Q** | *πατρός* et *μητρός* invicem trai. Suda 4, 229, 22 ‖ **469** *σ'* Blaydes ‖ **471** *τοῖσδέ γ' οἷς* Suda

ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
ὅμως δὲ τλῆθι· τοῖσι γενναίοισί τοι
τό τ' αἰσχρὸν ἐχθρόν, καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ' ἐκλιπόντι τοῦτ' ὄνειδος οὐ καλόν,
δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ', ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς·
τόλμησον, εἰσβαλοῦ μ' ὅπηι θέλεις ἄγων,
εἰς ἀντλίαν, εἰς πρῶιραν, εἰς πρύμνην, ὅπηι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς Ἱκεσίου, τέκνον,
πείσθητι· προσπίτνω σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου,
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος
Τραχινίαν τε δεράδα καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται· πατρί μ' ὡς δείξῃς φίλωι,
ὃν δὴ παλαιὸν ἐξ ὅτου δέδοικ' ἐγὼ
μή μοι βεβήκηι· πολλὰ γὰρ τοῖς ἱγμένοις
ἔστελλον αὐτὸν ἱκεσίους πέμπων λιτάς,

480 *ἴθ'*] *ὅθ'* **VT** ‖ **481** *εἰσβαλοῦ* Meineke *ἐκβ-* **LS** *ἐμβ-* rell. (*ἐμβαλεῖν* **U**) | *ὅποι* **KZo**, coni. Wakefield *ὅπου* **Q**, coni. Elmsley ‖ **482** *πρύμνην* Elmsley *πρύμναν θ'* **KVZgT** *πρύμναν* rell. | *ὅπηι* **Zo** *ὅπου* **GRSV**[gl]**Q**[gl] *ὅποι* rell. | *ἐς* pro *εἰς* hic semper **AUY** ‖ **485** *γόνασι* **LVUYZg** *γούνασι* rell. ‖ **489** *Εὐβοίαι* Musgrave ‖ **491** *δειράδα* codd.: corr. Toup ‖ **493** *παλαιὸν* **T** *παλαιὰν* **LG**[ac] *πάλαι ἂν* **L** i. m., **KSVG**[pc]**RZg**, et fort. **U**[ac] *παλαί' ἂν* **AU**[(pc)]**YZo** *παλαιὸς ἂν* **Q** ‖ **494** *βεβήκηι* **SZg** *-κει* **T** *-κοι* rell. *-κε* Elmsley | *ἱγμ-* seu *ἰγμ-* **QRVZgZo** *ἱκμ-* rell.

αὐτόστολον πλεύσαντά μ' ἐκσῶσαι δόμους·
ἀλλ' ἢ τέθνηχ' ἢ κατὰ τὸ τῶν διακόνων
ὡς εἰκός, οἶμαι, τοὐμὸν ἐν σμικρῶι μέρος
ποιούμενοι τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ', εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντ' ἄδηλα κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δείν' ὁρᾶν,
χὤταν τις εὖ ζῆι, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα μὴ διαφθαρεὶς λάθηι.

ΧΟ. *οἴκτιρ', ἄναξ· πολλῶν ἔλε-* ἀντ.
ξεν δυσοίστων πόνων
ἆθλ', οἷα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικρούς, ἄναξ, ἔχθεις Ἀτρείδας,
ἐγὼ μέν, τὸ κείνων
κακὸν τῶιδε κέρδος
μέγα τιθέμενος, ἔνθαπερ ἐπιμέμονεν,
ἐπ' εὐστόλου ταχείας νεὼς
πορεύσαιμ' ἂν ἐς δόμους, τὰν θεῶν
νέμεσιν ἐκφυγών.

496 *πλεύσαντά* $S^{γρ}$, coni. Blaydes *πέμψαντά* rell. | *δόμους* **Q**, coni. Wunder *δόμοις* rell. || **497** *τέθνηχ' ἢ κατὰ* Dawe *τέθνηκεν ἢ* codd. *τεθνήκασ' ἢ* Suda 2, 59, 25 | *τὸ* Saeger *τὰ* codd. || **498** *σμικροῖς* **Zo** | *μέρεις* **A** *μέρει* fort. G^{ac} || **500** *γὰρ*] *γὰρ δὴ* **Zo** || **502** *πάντα δεινὰ* codd.: corr. Wakefield || **503** *θἀτέραι* Blaydes || **504–506** del. Reeve || **507** *πολλῶν δ'* **T** || **509** *οἷα* olim Porson *ὅσσα* **LGSAUYZgT** (*ὅσσων* s. l. **AUY**) *ὅσα* **KVQR**, fort. Y^{ac} *ἅττα* **Zo** *ἅσσα* Porson | *λάχοι* Seyffert || **510** *Ἀτρείδας ἔχθεις* **R**, coni. Hermann: cf. Conomis, Hermes 92 (1964) 26 || **515** *μετατιθέμενος* $T^{γρ}$, **ΣL** | *ἐπιμέμονεν*] *ἐπιμέμηνεν* **T** *ἐπεὶ μέμηνεν* **G** *ἔλει ἐπεὶ μέμονε* **V** *ἐπεὶ μέμονεν* rell. || **517** *θεῶν* Hermann *ἐκ θεῶν* codd.

ΝΕ. *ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῆις,*
ὅταν δὲ πλησθῆις τῆς νόσου ξυνουσίαι,
τότ' οὐκέθ' αὑτὸς τοῖς λόγοις τούτοις φανῆις.
ΧΟ. *ἥκιστα· τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ*
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
ΝΕ. *ἀλλ' αἰσχρὰ μέντοι σοῦ γέ μ' ἐνδεέστερον*
ξένωι φανῆναι πρὸς τὸ καίριον πονεῖν.
ἀλλ', εἰ δοκεῖ, πλέωμεν· ὁρμάσθω ταχύς·
χἠ ναῦς γὰρ ἄξει κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σώιζοιεν ἔκ τε τῆσδε γῆς
ἡμᾶς ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.
ΦΙ. *ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνήρ,*
φίλοι δὲ ναῦται· πῶς ἂν ὑμὶν ἐμφανὴς
ἔργωι γενοίμην ὥς μ' ἔθεσθε προσφιλῆ;
ἴωμεν, ὦ παῖ, †προσκύσαντες τὴν ἔσω†
ἄοικον εἰς οἴκησιν, ὥς με καὶ μάθηις
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνον θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ τλῆναι τάδε·
ἐγὼ δ' ἀνάγκηι προὔμαθον στέργειν κακά.
ΧΟ. *ἐπίσχετον, μάθωμεν· ἄνδρε γὰρ δύο,*
ὁ μὲν νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες αὖθις εἴσιτον.

521 *οὐκέθ' αὐτὸς* **Zg** *οὐκέθ' αὑτὸς* **LK** *οὐκέθ' ὡὑτὸς* **AUY** *οὐκέτ' αὐτὸς* rell. || **524** *γ' ἔμ'* **S**, coni. Brunck || **528** *τε* Gernhard *δὲ* **LGQRSV** *γε* $\mathbf{L}^{s}$ s. l., rell. || **533** *προσκύσαντε* $\mathbf{L}^{pc}$ *-οντες* **GR**, **Zo** s. l. | *τὴν ἔσω*] *γῆν*, deinde lacuna, post quam *ἐγώ*, Schneidewin: cf. app. crit. ad v. 571 | *προσκύσοντες Ἑστίαν* Bergk: *Ἑστίαν* tanquam glossema invenitur: *ἀσπασάμενοι τὴν Ἑστίαν* **ΣL** || **534** *εἰς οἴκησιν* **LKU** *οἴκησιν* **GRS** *ἐς οἴκησιν* **QV** *εἰσοίκησιν* **AYZgZoT** || **536** *μόνην* codd.: corr. Blaydes || **538** *κακά* $\mathbf{L}^{s\gamma\rho}\mathbf{S}^{\gamma\rho}$ *τάδε* rell., sed vers. om. $\mathbf{Y}^{ac}$**Zo** || **539** *δύο* **SZgZo** *δύω* rell. || **541** *αὖτις* **LVGQR**

ΕΜΠΟΡΟΣ

Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὅς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχηι δέ πως πρὸς ταὐτὸν ὁρμισθεὶς πέδου.
πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῶι στόλωι
ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας ὅτι
σοὶ πάντες εἶεν οἱ νεναυστοληκότες,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύματ' ἐστί, κοὐ μόνον βουλεύματα
ἀλλ' ἔργα δρώμεν', οὐκέτ' ἐξαργούμενα.
ΝΕ. *ἀλλ' ἡ χάρις μὲν τῆς προμηθίας, ξένε,*
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ' ἅ γ' ἔργ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.
ΕΜ. *φροῦδοι διώκοντές σε ναυτικῶι στόλωι*
Φοῖνιξ θ' ὁ πρέσβυς οἵ τε Θησέως κόροι.

542 *σὸν* Polle || **546** *δέ τωι* Blaydes | *ὁρμισθεὶς* **LKAUY** *-ιθεὶς* **ZgT** *-ηθεὶς* **GQRSZo** *συγκύρσας* **V** | *πέδον* codd.: corr. Maguiness: cf. Eur. Bacch. 1220 (Jackson) || **547–549** *πλέω … ὡς δ' ἤκουσα* Reiske || **548** *ἀπ'*] *ἐξ* **AUY** || **559** *εἶεν συννεναυστοληκότες* Dobree || **552** *ποεῖσθαι* **LS** *ποιεῖσθαι* rell. || **554** *ἀμφὶ σοῦ νέα* Dorat *ἀμφὶ σοῦ ̔νεκα* **AUY** *ἀμφὶς εἵνεκα* **G** *ἀμφὶς οὕνεκα* **R** *ἀμφὶς ὃν* $G^{\gamma\rho}$ *ἀμφὶ* (seu *ἀμφί*) *σ' οὕνεκα* rell. || **557** *σῆς* Seyffert | *προμηθίας* **LS** *-είας* rell. || **559** *ἅ γ' ἔργ'* Broadhead *ἅπερ γ'* **AUY** *ἅπερ* rell., post quod *κἄλεξας* Blaydes || **560** *φέρεις* **GR**Q^{gl} || **562** *Φοίνιξ* **VAUYZgT** utroque accentu **L** | *θ'* **AUY** om. rell.

ΝΕ. ὡς ἐκ βίας μ' ἄξοντες ἢ λόγοις πάλιν;
ΕΜ. οὐκ οἶδ'· ἀκούσας δ' ἄγγελος πάρειμί σοι.
ΝΕ. ἦ ταῦτα δὴ Φοῖνιξ τε χοἱ ξυνναυβάται
οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
ΕΜ. ὡς ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι.
ΝΕ. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;
ΕΜ. κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ' ὁ Τυδέως τε παῖς
ἔστελλον, ἡνίκ' ἐξανηγόμην ἐγώ.
ΝΕ. πρὸς ποῖον ἂν τόνδ' αὐτὸς Οὐδυσσεὺς ἔπλει;
ΕΜ. ἦν δή τις... ἀλλὰ τόνδε μοι πρῶτον φράσον
τίς ἐστιν· ἃν λέγηις δὲ μὴ φώνει μέγα.
ΝΕ. ὅδ' ἐσθ' ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.
ΕΜ. μή νύν μ' ἔρηι τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει σφε σαυτῶι ξυλλαβὼν ἐκ τῆσδε γῆς.
ΦΙ. τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾶι λόγοισι πρός σ' ὁ ναυβάτης;
ΝΕ. οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
εἰς φῶς ὃ λέξει, πρὸς σὲ κἀμὲ τούσδε τε.
ΕΜ. ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῶι
λέγονθ' ἃ μὴ δεῖ· πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά θ', οἷ' ἀνὴρ πένης.

564 *δ'* om. **QS** ‖ **565** *ταῦτα*] *τάχα* **V** | *δὴ* om. **QRZo** | *Φοίνιξ* **AUYZg**^pc^**T** ‖ **568** *αὐτόστολος* Nauck ‖ **569** *ἤ* Brunck | *εἶργε* **L**^ac^**GUZgZo** ‖ **571** *ἐγώ* **QZg** *ἔσω* rell. ‖ **572** *οὖν* Dissen *αὖ* Dobree | *Οὐδυσσεὺς* volunt **L**^pc^**AUYT** *Ὀδυσσεὺς* **L**^ac^ rell. ‖ **574** *ἃν* novit iam Markland ad Eur. Suppl. 364 *ἂν* codd. ‖ **576** *νῦν* ut solent codd. ‖ **577** *σφε σαυτῶι* Dawe: cf. 620 sq. *σεαυτῶι* **GR** *σεαυτὸν* rell. *τὰ σαυτοῦ* Dindorf | *σφ' ἐκ* olim Dawe ‖ **578** *με*] *δὲ* Seyffert ‖ **581** *πρὸς φῶς* **Zo** ‖ **583** *λέγων θ'* **V** | *ὃ* fort. **Q**^ac^ ‖ **584** *θ'* Dobree om. **Q** *γ'* rell.

NE. ἐγὼ εἰμ' Ἀτρείδαις δυσμενής· οὗτος δέ μοι
φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.
δεῖ δή σ', ἔμοιγ' ἐλθόντα προσφιλῆ, λόγων
κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.
EM. ὅρα τί ποιεῖς, παῖ.
NE. σκοπῶ κἀγὼ πάλαι.
EM. σὲ θήσομαι τῶνδ' αἴτιον.
NE. ποιοῦ λέγων.
EM. λέγω· 'πὶ τοῦτον ἄνδρε τώδ' ὥπερ κλύεις,
ὁ Τυδέως παῖς ἥ τ' Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν ἦ μὴν ἢ λόγωι
πείσαντες ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος· οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θἀτέρου δράσειν τάδε.
NE. τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνωι
τοσῶιδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ'; ἦ θεῶν Βία
καὶ Νέμεσις, αἵπερ ἔργ' ἀμύνουσιν κακά;
EM. ἐγώ σε τοῦτ', ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω· μάντις ἦν τις εὐγενής,
Πριάμου μὲν υἱός, ὄνομα δ' ὠνομάζετο

585 *εἰμ'* L^{ac}VAUYT^{gl} *'μ'* L^{spc}KSZgZoT *μεν* G *μὲν* QR | *δ' ἐμοὶ* Zo || **587** *λόγον* codd.: corr. Burges *προσφιλεῖ λόγωι* rec. || **588** *μηδὲν* Zo, coni. Linwood || **590** *ποιοῦ*] *ποῦ* Zo *πιθοῦ* vel *πείθου* Reiske *τίθου* Wecklein || **591** *ὥσπερ* KSVT *ὅπερ* Zo || **593** *μὴν*] *μιν* Q | *ἢ*] *νιν* Elmsley || **594** *πείσαντέ γ'* Zg || **595** *ἤκουσαν* Q || **597** *πράσσειν* Q, coni. Wright || **600** *γ'* Zg, coni. Heath om. Zo *τ'* rell. || **601** *ἦ* Radermacher *ἢ* codd. | *βία*] *φθόνος* $L^{gl}U^{γρ}Y^{γρ}$ || **602** *αἵπερ* Pallis *ἥπερ* rec. *εἴπερ* U *οἵπερ* rell. || **603–627** exaravit G^2

Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος,
ὁ πάντ' ἀπακονῶν αἰσχρὰ καὶ λωβήτ' ἔπη,
δόλιος Ὀδυσσεύς, εἷλε, δέσμιόν τ' ἄγων
ἔδειξ' Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε,
καὶ τἀπὶ Τροίαι πέργαμ' ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγωι
ἄγοιντο νήσου τῆσδ' ἐφ' ἧς ναίει τανῦν.
καὶ ταῦθ' ὅπως ἤκουσ' ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ' ἑκούσιον λαβών,
εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων κάρα
τέμνειν ἐφεῖτο τῶι θέλοντι μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῶι παραινῶ κεἴ τινος κήδηι πέρι.
ΦΙ. *οἴμοι τάλας· ἦ κεῖνος, ἡ πᾶσα βλάβη,*
ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὑκείνου πατήρ.
ΕΜ. *οὐκ οἶδ' ἐγὼ ταῦτ'· ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ*
ναῦν, σφῶιν δ' ὅπως ἄριστα συμφέροι θεός.
ΦΙ. *οὔκουν τάδ', ὦ παῖ, δεινά, τὸν Λαερτίου*
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
δεῖξαι λεὼις ἄγοντ' ἐν Ἀργείοις μέσοις;

607 *ἀπακονῶν* Dawe *ἀκούων* codd. ‖ **608** *δ'* **AUY** ‖ **612** *πέρσωσιν* **Zo**, et hoc, cum *ἄξουσι* (613), coni. Blaydes *πέρσειεν* **QU** *πέρσειαν* Elmsley | *δόλωι* **K**, verum **K** i. m. ‖ **613** *ἀγάγοιντο* seu *ἄξοιντο* Blaydes ‖ **614** *ἤκουσ'* **ZgZo** *ἤκουσεν* rell. | *Λαερτίου* **Q** | *γόνος* **VZg** ‖ **618** *τούτου* **V** s. l., **T** ‖ **619** *ὑφεῖτο* **GQR** ‖ **629** *ἂν*] *ἐν* **GR** ‖ **630** *λεὼις* Schubert *νεὼς* codd.

οὔ· θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
ἀλλ' ἔστ' ἐκείνωι πάντα λεκτά, πάντα δὲ
τολμητά. καὶ νῦν οἶδ' ὁθούνεχ' ἵξεται.
ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζηι τῆς Ὀδυσσέως νεώς.
[ἴωμεν· ἥ τοι καίριος σπουδή, πόνου
λήξαντος, ὕπνον κἀνάπαυλαν ἤγαγεν.]
ΝΕ. οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρώιρας ἀνῆι,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.
ΦΙ. ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγηις κακά.
ΝΕ. οὐκ ἆρα κἀκείνοισι ταῦτ' ἐναντία;
ΦΙ. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῆι κλέψαι τε χἀρπάσαι βίαι.
ΝΕ. ἀλλ', εἰ δοκεῖ, χωρῶμεν ἔνδοθεν λαβεῖν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ. ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
ΝΕ. τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔπι;
ΦΙ. φύλλον τί μοι πάρεστιν ὧι μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πόνου.
ΝΕ. ἀλλ' ἔκφερ' αὐτό· τί γὰρ ἔτ' ἄλλ' ἐρᾶις λαβεῖν;

631 *οὐ θᾶσσον* Tournebou *οὗ θᾶσσον* Welcker ‖ **635** *ὡς*] *καὶ* **Q** *ἕως* Hermann ‖ **636** *ὁρίζει* codd.: corr. Lambin | *νεώς*] *βίας* **ZoT**, verum T$^{\gamma\rho}$ ‖ **637** sq. damnavit Bergk ‖ **639** *πνεύματ' ἐκ* **QV** | *πρύμνας* **KG**$^{\gamma\rho}$**QR** | *ἀνῆι* Lambin: *παύσηται* periphrasis **ΣL** *ἄηι* **LGQRSVT** *ἄηι* **K** *ῥάηι* **Zo** *ῥᾶηι* **Zg** *ἀγῆι* **AUY**, cum glossemate *πέσηι, θραυσθῆι*; error igitur ex *ῥαγῆι* ortus est ‖ **642** *οὐκ ἆρα* Meineke *οὔκουν ἀλλὰ* **V** *οὐκ οὐλλὰ* **S** *οὐκ· ἀλλὰ* rell. *ἀλλ' οὐχὶ* Heine *οἶδ'· ἀλλὰ* Doederlein ‖ **644** *τε* om. **Q** *τι* Bergk ‖ **645** *ἔνδοθι* **Q** in lin., **V** | *λαβεῖν* Page *λαβὼν* codd. *λάβ' οὖν* Fröhlich ‖ **648** *ἔπι* Dorat *ἔνι* codd. ‖ **650** *ἄλγος* **Zg** | *πόνου* V^{ac} rec. *πάνυ* V^{pc} rell.

ΦΙ. εἴ μοί τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίπω μή τωι λαβεῖν.
ΝΕ. ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;
ΦΙ. ταῦτ', οὐ γὰρ ἄλλα γ', ἴσθ', ἃ βαστάζω χεροῖν.
ΝΕ. ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙ. σοί γ', ὦ τέκνον, καὶ τοῦτο κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρηι γενήσεται.
ΝΕ. καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω·
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.
ΦΙ. ὅσιά τε φωνεῖς ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
θάρσει, παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
†καὶ δόντι δοῦναι,† κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον·
εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην.
ΝΕ. οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον·
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,

652 *εἴ μοι*] *οἴμοι* G^{γρ}RZoT | *ἀπημελημένων* GRSAUY || **654** *τόξ' ἃ*] *τόξα* AUY | post hunc versum deficit S usque ad v. 748 || **655** *ἄλλα γ', ἴσθ',* Dawe *ἄλλα γ' ἔσθ'* AUY *ἄλλ' ἔσθ'* KVZgT *ἀλλ' ἔσθ'* L *ἄλλ' ἔστ'* Zo *ἀλλ'* (*ἄλλ'* R) *ἔσθ' ἀλλ'* GR *ἔσθ' ἄλλ'* Q || **656** *λαβεῖν θέαν* Q || **657** *με*] *σφε* vel *τε* Blaydes || **659** *συμφέρον* G *ξυμφέροι* Zo || **661** *μοι*] *μὲν* Reiske || **663** *τόδ'* AUYZgZoT *τότ'* LKQV *τό γ'* GR || **666** *μ'* om. KGRT | *πέρα*] *μ' ὕπερ* Burges *πάρει*, cum *ἀναστήσας*, Jebb || **668** *δόντι*] *στόματι* Musgrave || **669** *μόνος* Q^{ac} *μόνωι* Nauck || **671–673** Neoptolemo trib. Doederlein, Philoctetae codd.

παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
χωροῖς ἂν εἴσω.
ΦΙ. καὶ σέ γ' εἰσάξω· τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

ΧΟ. λόγωι μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα, στρ. α
τὸν πελάταν λέκτρων ποτὲ τῶν Διὸς
† Ἰξίονα κατ' ἄμπυκα δὴ δρομάδα δέσμιον
ὡς ἔλαβ'†
ὁ παγκρατὴς Κρόνου παῖς·
ἄλλον δ' οὔτιν' ἔγωγ' οἶδα κλύων οὐδ' ἐσιδὼν
μοίραι
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν·
ὃς οὔτι ῥέξας οὔτιν', οὔτι νοσφίσας,
ἀλλ' ἴσος, εἴ τις, ὢν ἀνὴρ
ὤλλυθ' ὧδ' ἀναξίως.
τόδε ⟨δ' αὖ⟩ θαῦμά μ' ἔχει,
πῶς ποτε πῶς ποτ' ἀμφιπλή-
κτων ῥοθίων μόνος κλύων,

674 *χωροῖς ἂν εἴσω* Philoctetae trib. Cavallin ‖ **677** *τῶν* Porson *τοῦ* **T** om. rell. ‖ **678** [*Ἰξίονα*] *ἀνὰ δρομάδ' ἄμπυκα* Erfurdt | *ἄντυγα* Musgrave, recte ni fallor: sed vide Robinson, Class. Quart. N. S. 19 (1969) 42 sq. | *δὴ* om. **QT** ‖ **679** *ἔλαβεν* Vater ‖ **680** *παῖς* om. **T** ‖ **682** *ἐσιδὼν* Wakefield *ἐσίδων* $\mathbf{L}^{ac}$ *ἐσίδον* $\mathbf{L}^{pc}$**VAUYZgT** *ἐσεῖδον* **GQZo** *ἐσσίδον* **R** *εἰσεῖδον* **K** ‖ **684** *οὔτι ῥέξας οὔτιν'* Bergk *οὔτ' ἔρξας* (vel *οὔθ' ἔρξας*) *τιν'* (*τι* **Zg**) codd. *οὔτε τι ῥέξας* Eustathius 763, 2 | *οὔτι*[2] Schneidewin *οὔτε* codd.: vide Jackson, Marginalia Scaenica 110–112 ‖ **685** *ἴσος*] *ἴσως* **L** | *εἴ τις, ὢν* Burges *ἐν ἴσοις* codd. *ἔν γ' ἴσοις* Hermann *ὢν ἴσοις* Lachmann ‖ **687** *δ' αὖ* add. Hermann | *θαῦμ' ἔχει με* codd.: corr. Hermann ‖ **688** *ἀμφίπληκτον ῥόθιον* **V** ‖ **689** *κλύων* **GRZo** *κλυζόμενος* $\mathbf{KG}^{gl}$ *κλύζων* $\mathbf{G}^{\gamma\rho}$ rell.

πῶς ἄρα πανδάκρυτον οὕ-
τω βιοτὰν κατέσχεν·

ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν, ἀντ. α
οὐδέ τιν' ἐγχώρων κακογείτονα,
παρ' ὧι στόνον ἀντίτυπον βαρυβρῶτ' ἀπο-
κλαύσειεν αἱματηρόν,
οὐδ' ὃς θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, ⟨σεισμὸς⟩ εἴ τις ἐμπέσοι,
φορβάδος ἔκ τι γᾶς ἑλών.
εἷρπε δ' ἄλλοτ' ἀλλαχᾶι
πόδ' ἂν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθή-
νας, ὅθεν εὐμάρει' ὑπάρ-
χοι πόρου, ἀνίκ' ἐξανεί-
η δακέθυμος ἄτα·

οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων στρ. β
αἴρων τῶν νεμόμεσθ' ἀνέρες ἀλφησταί,

691 *πρόσουρον* Bothe ‖ **692** *ἐγχωρίων* L^{ac} ‖ **694** *βεβαρυβρῶτ'* T, silente ΣT ‖ **696** *οὐδ'* del. Hermann: cf. **Zo** ad v. 699 | *ὃς* Gernhard *ὃς τὰν* codd. | *θερμορύταν* Blaydes ‖ **697** *ἐμπήρου* Vauvilliers ‖ **698** *φύλλοις* **QAUYT** *φύλλοισι* rell. ‖ **699** *εἴ*] *οὐδ' εἴ* **Zo** | ⟨*σεισμὸς*⟩ seu ⟨*σπασμὸς*⟩ Dawe ‖ **700** *τι* Hartung *τε* codd.: cf. O. T. 516 | *ἑλών* Tournebou *ἑλεῖν* codd. ‖ **701** *ἕρπει* codd.: corr. Bothe | *δ'* Hermann om. **T** *γὰρ* rell. | *ἀλλαχᾶι* Campbell *ἀλλὰ γὰρ* **T** *ἄλληι* **Zo** *ἄλλαι* rell.: *ἀλλαχοῦ* glossema invenitur ‖ **702** *πόδ'* Seyffert *τότ'* codd. ‖ **704** *ἔνθεν* **GR** | *ὑπάρχοι* **L** *-ει* rell. ‖ **705** *πόρου* Wakefield *πόρον* **L** *πόρων* rell. | *ἐξανείη* Hermann *ἐξανίει* **Zo** *ἐξανίηι* **T** *ἐξανί**ησι* **L** *ἐξανίησι* rell. ‖ **708** *πόρον* L^{pc} *σπόρων* **QV** *σῖτον* **Zo**, et gl. in nonnullis ‖ **709** *αἴρων* **V** *αἱρῶν* **Zg**

πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων πτα-
νοῖς ἰοῖς ἀνύσειε γαστρὶ φορβάν.
ὢ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτει χρόνωι,
λεύσσων δ' ὅπου γνοίη στρατόν, εἰς ὕδωρ
αἰεὶ προσενώμα.

νῦν δ' ἀνδρῶν ἀγαθῶν παιδὸς ὑπαντήσας ἀντ. β
εὐδαίμων ἀνύσει καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρωι δούρατι, πλήθει πολ-
λῶν μηνῶν, πατρίαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων νυμφᾶν
Σπερχειοῦ τε παρ' ὄχθας, ἵν' ὁ χάλκασπις ἀνὴρ θεοῖς
πλάθη †πᾶσι† θείωι πυρὶ παμφαὴς
Οἴτας ὑπὲρ ὄχθων.

ΝΕ. *ἕρπ', εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς*
λόγου σιωπᾷς κἀπόπληκτος ὧδ' ἔχηι;

711 *πτανοῖς ἰοῖς ἀνύσειε* Brunck *πτανῶν ἀνύσειε πτανοῖς* volunt **LKGRVZg**, et *πτανῶν πτανοῖς ἀνύσειε* **QAUYZoT** | *φορβάν* om. **Zo** || **715** *πώματος* **L** s. l., **T** *πόματος* rell. | *δεκέτει* L^{ac}**KVZgT** *δεκέτεῖ* L^{spc} *δεκατεῖ* **GR** *δεκάτη* Q^{ac} *δεκάτει* Q^{pc}, et *ω* supra *ει* scr. Q^{1} *δεκαετεῖ* **Zo** *δεκέτη*, et *χρόνον*, **AUY** || **716** *λεύσσων* **AUYZgZoT** *λεύσων* **K**$G^{γρ}$**QR** *λεύσσειν* **L** *λεύσειν* **GV** | *δ' εἴ που* Brunck metri gr.: cf. 728 | *στρατόν* Dawe: cf. 217 sq. *στατὸν* codd. || **717** *αἰεὶ* **T** *ἀεὶ* rell. | *προσενώμα* 'intuebatur' *πόδ' ἐνώμα* Wakefield || **719** *παιδὶ συναντήσας* Fröhlich || **724** *πατρώιαν* codd.: corr. Porson | *ἀνάγει* **K** || **725** *Μαλιάδων* Erfurdt || **726** *ὄχθας* Hermann *ὄχθαις* codd. || **728** *πλάθη* **QR**, coni. Bergk *-θηι* G^{pc} *-ει* G^{ac} rell. | *πᾶσιν* **T** *βάσιν* Seyffert *δέμας* Wecklein: de corruptela cf. [Aesch.] Prom. 354 || **729** *ὄχθας* **G**Q^{pc}**R** *ὄχθην* **Zg** || **730** *σθένεις* ed. Lond. 1747

ΦΙ. ἆ ἆ ἆ ἆ.
ΝΕ. τί ἔστιν;
ΦΙ. οὐδὲν δεινόν· ἀλλ' ἴθ', ὦ τέκνον.
ΝΕ. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
ΦΙ. οὐ δῆτ' ἔγωγ', ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ἰὼ θεοί.
ΝΕ. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;
ΦΙ. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ ἆ ἆ ἆ.
ΝΕ. τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσηι
σιγηλός; ἐν κακῶι δέ τωι φαίνηι κυρῶν.
ΦΙ. ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν. ἀτταταῖ, διέρχεται,
διέρχεται. δύστηνος, ὢ τάλας ἐγώ.
ἀπόλωλα, τέκνον· βρύκομαι, τέκνον· παπαῖ,
παπαῖ, παπαῖ.
πρὸς θεῶν, πρόχειρον εἴ τί σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα – μὴ φείσηι – βίαι.
ἴθ', ὦ παῖ.
ΝΕ. τί δ' ἔστιν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποῆι;

732 *ἆ* ter **AUY** || **733** *τί δ'* Erfurdt || **734** *ἴσχει* **GQRZo** *ἴσχει σε* rec. | *τῆς*] exspectares *αὖ*: cf. 765 || **737** *οὕτως* **AUYZoT** om. rell. | *ὦ θεοί. ΝΕ. τί τοὺς θεοὺς ἀ. κ.* **Zg**, coni. Dindorf: idem nisi quod *θεοὺς ὧδ'*, anon. AD 1810 | *καλεῖς*] *βοᾶις* **G**, verum $\mathbf{G}^{\gamma\rho}$ || **739** *ἆ* ter $\mathbf{AUYZo}^{ac}$ sexies $\mathbf{Zo}^{pc}$ om. $\mathbf{V}^{ac}$ quater $\mathbf{V}^{pc}$ rell. || **742** *ὄλωλα* **ZoT** || **743** *παρ' ἡμῖν* **Zo** *πρὸς ὑμᾶς* Dawe || **744** *ὢ* **Zo** *ὦ* rell. || **745** *βρύκομαι* **Zo** *βρύχομαι* rell. || **746** om. $\mathbf{V}^{ac}\mathbf{Zg}$ | *παπαῖ* bis ex. gr. Dawe *ἀπα· παπᾶ· παπᾶ· παπᾶ· παπᾶ· παπαῖ* (L) vel sim. codd. || **748** iterum incipit **S** || **749** *βίαι* Burges *βίου* codd.: cf. Trach. 1016 || **751** *ἐστὶ τοῦτο* **GRS** | *ὅτι* **GQR** || **752** *τόσην* **V** | *ποῆι* Jebb *ποεῖς* **LKGRS** *ποιεῖς* rell.

ΦΙ. οἶσθ', ὦ τέκνον.
ΝΕ. τί ἔστιν;
ΦΙ. οἶσθ', ὦ παῖ.
ΝΕ. τί σοι;
οὐκ οἶδα.
ΦΙ. πῶς οὐκ οἶσθα; παππαπαππαπαῖ.
ΝΕ. δῆλόν γε τοὐπίσαγμα τοῦ νοσήματος.
ΦΙ. δεινὸν γὰρ οὐδὲ ῥητόν· ἀλλ' οἴκτιρέ με.
ΝΕ. τί δῆτα δράσω;
ΦΙ. μή με ταρβήσας προδῷς·
εἴκει γὰρ αὐτὴ διὰ χρόνου, πλάνης ἴσως
ὡς ἐξεπλήσθη.
ΝΕ. ἰὼ ἰὼ δύστηνε σύ.
ΦΙ. δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
ΝΕ. βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;
ΦΙ. μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
τάδ', ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρόν,
σῷζ' αὐτὰ καὶ φύλασσε· λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε,
κοὐκ ἔστι λῆξαι πρότερον. ἀλλ' ἐᾶν χρεὼν

753 *τί δ'* G ‖ 754 *ΦΙ. οὐκ οἶδα. ΝΕ. πῶς οὐκ οἶσθα; ΦΙ.* codd.: corr. Purgold | exclamationem sequentem variis modis exarant codd. ‖ 755 *δῆλόν* Dawe *δεινόν* codd. | *τοὐπίσαγμα* **Zo** *τοὐπείσαγμα* rell. ‖ 758 *εἴκει* Heimsoeth *ἵκει* **S** *ἥκει* rell. *λήγει* F. W. Schmidt | *αὐτὴ* F. W. Schmidt *ἄτη* **V** *αὔτου* **Zo** *αὕτη* rell. | *πλάνης* **GQR** *πλάνοις* rell. ‖ 759 *ἰὼ ἰὼ*] *ἰὼ* **KQVZg** (iterum **Q**[gl]) *φεῦ. ΝΕ. ἰὼ* **T** | *σύ*] *σύ. ἰὼ* **KVZg** ‖ 760 *ἰὼ δύστηνε* **A** *ἰὼ ἰὼ δύστηνε* **UY** | versum Philoctetae trib. V, coni. Lindner: Neoptolemo continuant rell. ‖ 764 *ἂν ᾖι* **SVZoT** ‖ 765 *τὰ νῦν* **V** ‖ 767 *ἐξίῃι* **LKSVZoT** *ἐξήῃι* **AUY** *ἐξίκῃι* **GQR** *ἐξήκῃι* **Zg**

ἔκηλον εὕδειν· ἢν δὲ τῶιδε τῶι χρόνωι
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν ἐφίεμαι
ἑκόντα μήτ' ἄκοντα μήτε τωι τέχνηι
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα
κἄμ' ὄντα σαυτοῦ πρόστροπον κτείνας γένηι.
ΝΕ. θάρσει προνοίας οὕνεκ'· οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχηι δὲ πρόσφερε.
ΦΙ. ἰδού, δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον
μή σοι γενέσθαι πολύπον' αὐτὰ μηδ' ὅπως
ἐμοί τε καὶ τῶι πρόσθ' ἐμοῦ κεκτημένωι.
ΝΕ. ὦ θεοί, γένοιτο ταῦτα νῶιν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλής, ὅποι ποτὲ
θεὸς δικαιοῖ χὠ στόλος πορσύνεται.
ΦΙ. †ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή.†
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
παπαῖ φεῦ·
παπαῖ μάλ', ὦ πούς, οἷά μ' ἐργάσηι κακά.
[προσέρπει]
προσέρχεται τόδ' ἐγγύς. οἴμοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῆι.

769 *εὔκηλον* **T** *ἔκηλά μ'* Dawe: cf. El. 786 | *εἰ* **Zo** | *δὲ τῶι χρόνωι τάχα* **ZoT** ‖ **771** *μηδ' ἄκοντα* Eustathius 1697, 17 | *μηδέ τωι* **AUYZg** ‖ **772** *ταῦτα* om. **LKV** ‖ **774** *προνοίας γ'* **Zg** ‖ **780** *καὶ εὐσταλής* codd. plerique ‖ **782** incertum dochmii an iambi restituendi | *ἀλλὰ*] *ἀλλ' οὐ* **Zg^{ac}Zo** *ἀλλ' οὖν* **Zg^{pc}T** *ἆ ἆ ἆ ἆ* Philp | *παῖ* om. **S** | *μ'*] *σ'* **T** s. l. (*σοι* **T^{gl}**) | *εὐχή*] *εὐχὴ τέκνον* **T** | *δέδοικα δ', ὦ παῖ, μὴ ἀτελὴς εὐχὴ τύχηι* Wunder ‖ **783** *φοίνιον* **AU^{pc}YT** *φόνιον* **U^{ac}** rell. ‖ **786** *εἴργασαι* Hense ‖ **787** *προσέρπει* om. **QV**, et tamquam *παρεπιγραφὴν* expulit Dawe: sed fortasse dochmii latent, ex. gr. *προσέρπει τόδ' ἐγγύς, οἴμοι τάλας* ‖ **788** *οἴμοι* ter, dein *τάλας* **S**, *ὤμοι τάλας* **GR**, *οἴμοι τάλας* **QU^{ac}Zg**

ἀτταταῖ.
ὦ ξένε Κεφαλλήν, εἴθε σοῦ διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε. φεῦ, παπαῖ,
παπαῖ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤμοι μοι.
ὦ Θάνατε, Θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ οὐ δύνηι μολεῖν ποτε;
ὦ τέκνον ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
τῶι Λημνίωι τῶιδ' ἀνακυκλουμένωι πυρὶ
ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοί ποτε
τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων
ἃ νῦν σὺ σώιζεις τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φήις, παῖ;
τί φήις; τί σιγᾶις; ποῦ ποτ' ὤν, τέκνον, κυρεῖς;
ΝΕ. *ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.*
ΦΙ. *ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ'· ὡς ἥδε μοι*
ὀξεῖα φοιτᾶι καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ', ἀντιάζω, μή με καταλίπηις μόνον.
ΝΕ. *θάρσει, μενοῦμεν.*
ΦΙ. *ἦ μενεῖς;*
ΝΕ. *σαφῶς φρόνει.*
ΦΙ. *οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.*
ΝΕ. *ὡς οὐ θέμις γ' ἔμ' ἴσθι σοῦ μολεῖν ἄτερ.*

790 *ἀτταταῖ* om. **R** variis modis exarant rell. *φεῦ φεῦ ἀτταταί* **S** || **791** *σοι* Zo *που* **Y** || **792** *ἴκοιτ'* Wakefield || **794** suspicatur Blaydes || **795** *νέμοιτε* **V**, verum V^{gl} || **798** *δύναι* Porson || **800** *ἀνακαλουμένωι* codd.: corr. **TOUP** || **803** *σὺ* om. **KQA** *σοι* **L** || **805** *ὤν*] *ὦ* **KGQRS** || **811** *γ'* om. **GQRSV** || **812** *γ' ἔμ' ἴσθι* **V** *γ' ἐμοί 'στι* rell.

ΦΙ. ἔμβαλλε χειρὸς πίστιν.
ΝΕ. ἐμβάλλω μενεῖν.
ΦΙ. ἐκεῖσε νύν μ' ἐκεῖσε –
ΝΕ. ποῖ λέγεις;
ΦΙ. ἄνω –
ΝΕ. τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
ΦΙ. μέθες, μέθες με.
ΝΕ. ποῖ μεθῶ;
ΦΙ. μέθες ποτέ.
ΝΕ. οὔ φημ' ἐάσειν.
ΦΙ. ἀπό μ' ὀλεῖς, ἢν προσθίγηις.
ΝΕ. καὶ δὴ μεθίημ', εἴ τι δὴ πλέον φρονεῖς.
ΦΙ. ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω·
τὸ γὰρ κακὸν τόδ' οὐκέτ' ὀρθοῦσθαί μ' ἐᾶι.
ΧΟ. τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν· κάρα γὰρ ὑπτιάζεται τόδε.
ΝΕ. ἱδρώς γέ τοί νιν πᾶν καταστάζει δέμας,
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἕκηλον αὐτόν, ὡς ἂν εἰς ὕπνον πέσηι.

ΧΟ. Ὕπν' ὀδύνας ἀδαής, Ὕπνε δ' ἀλγέων, στρ.
εὐαὴς ἡμῖν ἔλθοις, εὐαίων
εὐαίων, ὦναξ· ὄμμασι δ' ἀντίσχοις

813 *ἐμβαλῶ* **Q** *ἐμβάλω* **VU** | *μενεῖν* **AUY** *μένειν* rell. || **814** *νύν* Blaydes *νῦν* codd. | *μ'* om. **GQRSVZg**: in ras. scr. **L**[s] || **818** *μεθίημ' εἴ τι δὴ* Hermann *μεθίημι· τί δὲ δὴ* **AUY** *μεθίημί σε· τί δὴ* **ZoT**, et **Zg** s. l. *μεθίημί τι δὴ* rell. || **820** *τοῦτ'* **GQR Zo** || **821–822** choro trib. Dawe, Neoptolemo codd. || **823** *δέ τοί νιν* rec., coni. Dindorf, recte, si Neoptolemus vv. 821–822 iam locutus est *γέ τοινυν* **S** || **826** *ἕως* Wecklein || **829** sq. *εὐαίων* bis **T** semel rell. || **830** *ἄναξ* **V** | *ὄμμασιν δ'* **LAUY** | *ἀντέχοις* codd.: corr. Musgrave *ἀμπίσχοις* Burges

τάνδ' αἴγλαν ἃ τέταται τανῦν·
ἴθι ἴθι μοι, παιών.
ὦ τέκνον, ὅρα ποῦ στάσηι,
†ποῖ δὲ βάσηι πῶς δέ μοι τἀντεῦθεν†
φροντίδος. ὁραῖς; εὕδει.
πρὸς τί μένομεν πράσσειν;
καιρός τοι πάντων γνώμαν ἴσχων
πολὺ παρὰ πόδα κράτος ⟨ἀνδράσιν⟩ ἄρνυται.

ΝΕ. *ἀλλ' ὅδε μὲν κλύει οὐδέν, ἐγὼ δ' ὁρῶ οὕνεκα θήραν*
τήνδ' ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν,
κομπεῖν δ' ἔστ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

ΧΟ. *ἀλλά, τέκνον, τάδε μὲν θεὸς ὄψεται·* ἀντ.
ὧν δ' ἂν ἀμείβηι μ' αὖθις, ⟨παῖ⟩, βαιάν μοι,
βαιάν, ὦ τέκνον, πέμπε λόγων φήμαν,
ὡς πάντων ἐν νόσωι εὐδρακὴς
ὕπνος, ἄυπνος λεύσσειν.
ἀλλ' ὅ τι δύναι μάκιστον,
κεῖνό μοι κεῖνο λάθραι

831 *ἀχλὺν* Reiske ‖ **832** *ἴθι μοι ἴθι μοι* **Q** *ἴθιμι ἴθιμι* **R** *ἴθι ἴθι* **Zo**: *ἴθ' ἴθι μοι παιήων* Dindorf ‖ **833** *πῶς* **Q**[ac] *γε ποῦ* **T** ‖ **834** *ποῖ*] *ποῦ* **KGQR** | respondet v. 850: alteruter penitus corruptus est ‖ **835** *ὁρᾶις; εὕδει* Herwerden *ὁρᾶις ἤδη* codd. *οὖρος ἤδη* Erfurdt ‖ **836** *μενοῦμεν* codd.: corr. Erfurdt ‖ **838** *ἀνδράσιν* add. Hermann: cf. El. 75 *πολύ τι* ante *πολὺ* olim idem | *πόδας* **QZoT** ‖ **842** *ἔργ'* Blaydes ‖ **844** *ὧν δ' ἀμείβηι σύ* **T** | *παῖ* supplevit Dawe ‖ **845** *φάμαν* **ZgT** *φάτιν* Nauck: cf. 830 ‖ **849** *δύναι* **LKS** *δύναιο* rell. ‖ **850** *κεῖνο*[2]] om. **A** *γὰρ μέγιστον* **T** | *λάθρ'* **ZgT**

ἐξιδοῦ ὅπαι πράξεις·
οἶσθα γὰρ ὅ γ' αὐδῶμαι.
εἰ ταὐτᾶι τούτωι γνώμαν ἴσχεις,
μάλα τοι ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.

οὖρός τοι, τέκνον, οὖρος· ἀ-
νὴρ δ' ἀνόμματος, οὐδ' ἔχων ἀρωγάν, ἐπῳδ.
ἐκτέταται νύχιος,
[ἀλεὴς ἐσθλὸς ὕπνος]
οὐ χερός, οὐ ποδός, οὔτινος ἄρχων,
ἀλλά τις ὡς Ἀΐδαι πάρα κείμενος.
ὅρα, βλέπ' εἰ καίρια
φθέγγηι· τὸ δ' ἀλώ-
σιμον ἐμᾶι φροντίδι, παῖ,
πόνος ὁ μὴ φοβῶν κράτιστος.

851 *ὅπαι* Schneidewin *ὅπως* L^{s} s. l., G^{2} s. l., S^{gl} *ὅτι πῶς* **Q** *ὅτι* rell. ‖ **852** *οἶσθα γὰρ*] *οἶσθ' οἶσθ'* **T** | *ὅ γ'* Dawe *ὧν* **LSV** *ὧ* **K** *ὧι* s. l. **AUY** *ὅντιν'* **T** om. G^{ac} *·ον·* L^{s} s. l. *ὃν* G^{1pc}, **S** s. l., rell. | *αὐδῶμ'* **T** ‖ **853** *ταὐτᾶι* Dobree *ταὐτὰν* **L** *ταύταν* **G** (*εἴτ'*) *αὐτὰν* **SZg** *ταυτὰν* rell., sed praeter *ἔχεις* vers. om. **K** | *ἴσχεις* **L** i. m., **SAUY** *ἔχοις* **V** *ἔχεις* $S^{γρ}$ rell. ‖ **854** *πυκινοῖς* **T** *πυκνοῖσιν* **GQUY**, fort. L^{ac} *πύκνοισιν* **R** *πυκνοῖς* $L^{sγρ}$ *καὶ πυκνοῖς* $G^{γρ}R^{γρ}$ *ποικινοῖσιν* **S** *πυκινοῖσιν* rell. *πυκινά τ'* Parker, Class. Quart. N. S. 16 (1966) 11 (*πυκίν'* iam Blaydes) ‖ **856** *ἀνὴρ δ'* Brunck *κ' ἀνὴρ δ'* **K** *ἀνὴρ ὅδ'* **T** *ἀνὴρ δ'* rell. ‖ **857** *οὐδὲν* **S** ‖ **859** *ἀδεὴς θ'* Burges | *ἐσθλὸς ὕπνος* L^{ac}**KGQR** *ὕπνος ἐσθλὸς* L^{spc}, rell., **ΣL** *ἐσθλὸς ὕπνος ἀλεὴς* effecit V^{pc} versum del. Hartung ‖ **860** *χειρὸς* **QZo** | *οὔτιν'* **K** om. Q^{ac} *οὐ φρενὸς* Todt ‖ **861** *τις ὡς* Wunder *ὅστις* **V** *οστις* **L** *ὥς τι* **R** *ὅς* **Zg** *ὥς τις* **L** s. l., rell. | *παρακεί-μενος* codd.: corr. Blaydes ‖ **862** *ὁρᾶι· βλέπει· καίρια* ita fere codd.: corr. Hermann ‖ **863** *φθέγγηι* s. l. **AUY** *φθέγγου* **KV** *-ει* rell. ‖ **864** *πόνος ... κράτιστος* eiecit Dobree, qui *ἀδεὴς πόνος ἐσθλός* (cf. 859) hic supplet

ΝΕ. σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν·
κινεῖ γὰρ ἁνὴρ ὄμμα κἀνάγει κάρα.
ΦΙ. ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων·
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγώ,
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαί γ' αὔτ' ἔτλησαν εὐφόρως
οὕτως ἐνεγκεῖν, ἀγαθοὶ στρατηλάται.
ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σή, πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
  καὶ νῦν, ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δή, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν', ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτέ,
ὁρμώμεθ' ἐς ναῦν μηδ' ἐπίσχωμεν τὸ πλεῖν.
ΝΕ. ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
ὡς οὐκέτ' ὄντος γὰρ τὰ συμβόλαιά σου
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν, εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσι σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.
ΦΙ. αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ' ὥσπερ νοεῖς·

866 *ἀνὴρ* codd. ‖ **869** *ἐξηύχουν* Blaydes ‖ **871** *με* **K** in lin., **R** ‖ **872** *γ' αὔτ'* Blaydes *τοῦτ'* codd. | *εὐφόρως* Brunck *εὐπόνως* **K** *εὐπόρως* rell. ‖ **873** *ἀγαθοὶ* edd. *οἱ 'γαθοὶ* **AUY** *εἴ σ' ἀγαθοὶ* **Zg** *ἀγαθοὶ* rell. ‖ **878** *λώφησις* F. W. Schmidt ‖ **879** *αὖθις* Blaydes | *ἆρον καὶ κατάστησον σύ με*, omisso *τέκνον*, **Zo** ‖ **880** *κόπου ἀπαλλαχθῶμεν* L$^{s\gamma\rho}$ ‖ **881** *εἰς* **VZgT** ‖ **884** *σου* **AUY** *σοι* rell. ‖ **887** *οἴσουσιν οἵδε* **QSZoT** ‖ **888** *οὕτως* **AUY**

τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῆι
ὀσμῆι πρὸ τοῦ δέοντος· οὑπὶ νηὶ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.
ΝΕ. *ἔσται τάδ'· ἀλλ' ἵστω τε καὐτὸς ἀντέχου.*
ΦΙ. *θάρσει· τό τοι σύνηθες ὀρθώσει μ' ἔθος.*
ΝΕ. *παπαῖ· τί δῆτ' ἂν δρῶιμ' ἐγὼ τοὐνθένδε γε;*
ΦΙ. *τί δ' ἔστιν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγωι;*
ΝΕ. *οὐκ οἶδ' ὅπηι χρὴ τἄπορον τρέπειν ἔπος.*
ΦΙ. *ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.*
ΝΕ. *ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.*
ΦΙ. *οὐ δή σε δυσχέρεια τοῦ νοσήματος*
ἔπεισεν ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
ΝΕ. *ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν*
ὅταν λιπών τις δρᾶι τὰ μὴ προσεικότα.
ΦΙ. *ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε*
δρᾶις οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ. *αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.*
ΦΙ. *οὔκουν ἐν οἷς γε δρᾶις· ἐν οἷς δ' αὐδᾶις, ὀκνῶ.*
ΝΕ. *ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακός,*
κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ. *ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμων ἔφυν,*

892 *ἐμοί*] *ὁμοῦ* Blaydes ‖ **893** *ἔστω τάδ'* **ZoT** ‖ **894** *μ' ἔθος*] *μέ πως* **Zo** ‖ **895** *δῆτ' ἂν* Schaefer et anon. eodem anno (1810) *δῆτα* codd. | *γε* **AUY**, supra *-δε* script. om. $\mathbf{Q}^{ac}$ *λέγε* $\mathbf{Q}^{pc}$ rell. ‖ **896** *λόγων* rec., coni. Brunck ‖ **897** *ὅπηι* $\mathbf{G}^{c}$**RZgT** *ὅποι* rell. ‖ **900** *οὐ*] *ἦ* **S** ‖ **901** *ἔπεισεν* **VAUYZgZoT** *ἔπαισεν* **LKGQRS** ‖ **902** *αὑτοῦ* **RAUY** *αὐτοῦ* rell. ‖ **904** *τοῦ 'μφυτευθέντος* Tournier ‖ **906** *πάλιν* **L** in lin., **Zo** *αι* sscr. $\mathbf{L}^{1}$ *πολλά* **GR** ‖ **907** *γε* **AUYZgT** om. **K** *δὲ* **V** *τε* rell. | *δ'* **AUYZg**, fort. $\mathbf{L}^{ac}$ *τ'* $\mathbf{L}^{c}$ rell. ‖ **909** *ἔπη* **GQR** ‖ **910** *ἁνὴρ* edd. | *μὴ 'γὼ κακὸς* **UYZoT** *μ' ἐγὼ κακὸς* **A** *μὴ κἀγὼ κακὸς* **LKSVZg** *μὴ κακὸς* **GR** *μὴ κακὸς κἀγὼ* **Q** | *γνώμων* Naber *γνώμην* codd.

προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν.
ΝΕ. *λιπὼν μὲν οὐκ ἔγωγε· λυπηρῶς δὲ μὴ*
πέμπω σε, μᾶλλον τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. *τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.*
ΝΕ. *οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν,*
πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. *οἴμοι· τί εἶπας;*
ΝΕ. *μὴ στέναζε πρὶν μάθῃς.*
ΦΙ. *ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;*
ΝΕ. *σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ*
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. *καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς;*
ΝΕ. *πολλὴ κρατεῖ*
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. *ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,*
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
ΝΕ. *ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν*
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποεῖ.
ΦΙ. *ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα καὶ πανουργίας*
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον τὰ τόξ' ἑλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον·
πρὸς θεῶν πατρῴων, τὸν βίον με μὴ ἀφέλῃ.

911 *ἔοικεν* L ‖ **913** *πέμπων* GQRZo | virgulam ante *μᾶλλον* ponit Q, post *μᾶλλον* aut nullam rell. | *πάλιν* L in lin., GQRS: *αι* sscr. L^{s} | *τοῦτ' ἀνιῶμαι πάλαι* et hic et 906 vix credibile Sophoclem scripsisse ‖ **917** *τί σ' εἴπω* Zg ‖ **923** *τλῆμον* SY ‖ **924** *τὰ* om. LGRSVZg^{ac} ‖ **926** *ποεῖ* KGRS *ποεῖν* L *ποιεῖ* rell. ‖ **927** *πῦρ*] *φὼρ* anon. | *λῦμα* Bergk ‖ **928** *εἴργασαι* Zo, coni. Elmsley ‖ **933** *με μὴ ἀφέλῃ* Elmsley *μή μου 'φέλῃς* AUY *μή μ' ἀφέλῃς* rell.

ὤμοι τάλας· ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
ἀλλ' ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾶι πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτωι λέγω,
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν,
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ Ἀχιλλέως·
ὀμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προσθείς τε χεῖρα δεξιάν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει.
ὡς ἄνδρ' ἑλὼν ἰσχυρὸν ἐκ βίας μ' ἄγει,
κοὐκ οἶδ' ἐναίρων νεκρόν, ἢ καπνοῦ σκιάν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλωι.
νῦν δ' ἠπάτημαι δύσμορος· τί χρή με δρᾶν;
⟨ἀλλ'⟩ ἀπόδος· ἀλλὰ νῦν ἔτ' ἐν σαυτῶι γενοῦ.
τί φής; σιωπᾶις; οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν,
ἀλλ' αὐανοῦμαι τῶιδ' ἐν αὐλίωι μόνος,
οὐ πτηνὸν ὄρνιν οὐδὲ θῆρ' ὀρειβάτην

934 *οἴμοι* **QZo** | *προφωνεῖ* L *προσφωνεῖν* **AUYT** || **936** *ξυνουσία* Suda 4, 200, 5 || **941** *μ' οἴκαδ'* **RSZo** | *μ' ἄγει*] *ἄγει* **Zo** || **942** *προσθείς* **LKGQRSZo** *προθείς* **VAUYZgT** | *δὲ* **GR** || **945** *ἑλὼν* **Zg**, Suda 3, 14, 3 *ἑλὼν μ'* **LGR** *ἑλών μ'* rell. | *βίας μ'* **LQZg**, Suda *βίας* rell., Suda cod. A || **946** *οἶδεν αἴρων* **G**, Suda (verum **G**^{γρ}) || **949** *με δρᾶν*] *ποιεῖν* **AUY**, Suda (*ποεῖν* Suda AVM) || **950** *ἀλλ' ἀπόδος* Tournebou *ἀπόδος σύ γ'* **Zo** *ἀπόδος* rell. | *σαυτοῦ* **A** || **952** *χρῆμα* **L**^{ac}, corr. **L**^{1} || **954** *αὐανοῦμαι* **S**^{γρ}, et sine spiritu **L**^{sγρ}: fort. *αὐ-* praestat *αὖ θανοῦμαι* rell. et Suda

τόξοις ἐναίρων τοισίδ', ἀλλ' αὐτὸς τάλας
θανὼν παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε θηράσουσι νῦν·
φόνον φόνου δὲ ῥύσιον τείσω τάλας
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο, μήπω, πρὶν μάθοιμ' εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μή, θάνοις κακῶς.
ΧΟ. τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στὶ καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.
ΝΕ. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
ΦΙ. ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος ἐκκλέψας ἐμέ.
ΝΕ. οἴμοι, τί δράσω; μήποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
ΦΙ. οὐκ εἶ κακὸς σύ, πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά· νῦν δ' ἄλλοισι δοὺς
οἷ' εἰκός, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕ. τί δρῶμεν, ἄνδρες;
ΟΔ. ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
οὐκ εἶ, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοί, πάλιν;
ΦΙ. οἴμοι, τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ' ὃν εἰσορᾷς.
ΦΙ. οἴμοι· πέπραμαι κἀπόλωλ'· ὅδ' ἦν ἄρα

956 *τοῖσιν* L^{ac}, corr. L^{1} *τοῖσδ'* **R** *τοῖσδε* **QV** *τοῖς δέ γ'* **ZgT** *τοῖσι*, cum ● supra *ι* alt., U^{ac} *τοῖσδ' ἔτ'* Burges || **957** *ἀφ'* Wunder || **964** *τοῖς*] *τὸ* Blaydes || **966** *καὶ πάλιν* **L** in lin., **K** *πολλάκις* $V^{s\gamma\rho}$ || **967** *παρῇ* **LKT** || **968** *σαυτὸν* **GQR**, verum $Q^{\gamma\rho}$ || **971** *δ'* om. **GQRS** || **972** *ἀσκεῖν* Bergk | *ἄλλοις σε* Wakefield | *ἄλλοις διδοὺς* Dawe || **973** *οἷ'* Dindorf *οἷς* codd. || **976** *ἀνήρ* codd.: corr. Brunck || **977** *ἱστορεῖς* $S^{\gamma\rho}$: cf. codd. ad Eur. Suppl. 840

ὁ ξυλλαβών με κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγώ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα.
ΟΔ. τοῦτο μέν,
οὐδ' ἢν θέληι, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίαι στελοῦσί σε.
ΦΙ. ἔμ', ὦ κακῶν κάκιστε καὶ τολμήστατε,
οἵδ' ἐκ βίας ἄξουσιν;
ΟΔ. ἢν μὴ 'ρπηις ἑκών.
ΦΙ. ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ' ἀνασχετά,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίαι;
ΟΔ. Ζεύς ἐσθ', ἵν' εἰδῆις, Ζεύς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ὧι δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.
ΦΙ. ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθης.
ΟΔ. οὔκ, ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ'.
ΟΔ. ἐγὼ δὲ φημί· πειστέον τάδε.
ΦΙ. οἴμοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν οὐδ' ἐλευθέρους.
ΟΔ. οὔκ, ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ καὶ κατασκάψαι βίαι.

983 *στελῶ σ' ἐγώ* Blaydes *στελοῦσιν οἵδε σε*, eiecto *αὐτοῖς*, Hermann ‖ **984** *ἔμ'*] *ἦ 'μ'* Wakefield *ἦ μ'* Erfurdt | *τολμήστατε* frustra sollicitatur: cf. [Aesch.] Prom. 235 *τολμίστατε* **RVZg ZoT** ‖ **989** *Ζεὺς ἔσθ'* codd. ‖ **990** *Ζεὺς δ'* **L**spc**V** ‖ **992** *τιθείς* seu *τιθεῖς* codd.: corr. Dorat ‖ **994** *ΦΙ. οὔ φημ' ἔγωγε. ΟΔ. φημί* codd.: corr. Gernhard, praeeunte Wakefield ‖ **997** *ἀριστεῦσι* **G**, et *ἀριστεῦσιν* coni. Nauck *ἀριστεύσασι* **R**

ΦΙ. *οὐδέποτέ γ'· οὐδ' ἢν χρῆι με πᾶν παθεῖν κακόν,*
ἕως γ' ἂν ἦι μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
ΟΔ. *τί δ' ἐργασείεις;*
ΦΙ. *κρᾶτ' ἐμὸν τόδ' αὐτίκα*
πέτραι πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. *ξύλλαβέ τις αὐτόν· μὴ 'πὶ τῶιδ' ἔστω τάδε.*
ΦΙ. *ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείαι φίλης*
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἷ' αὖ μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ἤιδει πλὴν τὸ προσταχθὲν ποεῖν,
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν οἷς τ' ἐγὼ 'παθον·
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυᾶ τ' ὄντα κοὐ θέλονθ' ὅμως
εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ἧι με προυβάλου

999 *οὐ δήποτ' οὐδ'* **Zo** | *χρῆι* Brunck et Elmsley *χρῇ* L^{ac} *χρή* L^{spc} rell. | *γε* **GR** | *μαθεῖν* L^{1} s. l., **QS** ‖ **1000** *γ'* L^{ac}**VZgZoT** *δ'* **K** om. L^{pc} rell. ‖ **1001** *ἐργάσειας* **ZgZoT** | *τόδ'*] *τῆιδ'* Burges ‖ **1002** *πέτραι*] *πέτρας* **K** *πέτραι 'κ* Blaydes ‖ **1003** *ξύλλαβέ τις* Bergk *ξυλλάβετέ γ'* **AUY** *ξυλλάβετ'* rell. *ξυμμάρψατ'* M. Schmidt | *τοῦτον* **T** *ναῦται* Hense ‖ **1007** *οἷ' αὖ* Hermann *οἷον* **Zg**, et s. l. **AUY**, coni. Blaydes *οἷ* **Zo** *οἷός* **T** *οἷά* rell. | *ὥς*] *ὅς* $G^{γρ}$**QR**, coni. Wakefield ‖ **1008** *παῖδα* om. Q^{ac}**Zo** | *ἀγνῶτα τόνδ'* **S** ‖ **1010** *ποεῖν* **LKS** *πονεῖν* **Q** *ποιεῖν* rell. ‖ **1012** *τ'*[1] om. **GRS** | *πάθον* codd. ‖ **1014** *ἀφυᾶ* L. Dindorf *ἀφῦ* **Zo** *ἀφυῆ* rell. ‖ **1016** *ἔμ'*] *σύ μ'* **Q** (cf. app. crit. ad v. 1051), coni. Nauck *δέ μ'* **T** ‖ **1017** *ἄγειν μ'* **Q**

ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὄλοιο· καίτοι πολλάκις τόδ' ηὐξάμην.
ἀλλ', οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι,
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὔθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
διπλῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καίτοι σὺ μὲν κλοπῆι τε κἀνάγκηι ζυγεὶς
ἔπλεις ἅμ' αὐτοῖς, ἐμὲ δὲ τὸν πανάθλιον,
ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην,
ἄτιμον ἔβαλον, ὡς σὺ φήις, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλός, δυσώδης; πῶς θεοῖς ἔξεσθ', ὁμοῦ
πλεύσαντος, αἴθειν ἱερά, πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'· ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,

1018 *ἔρημον* om. V, post *ἄπολιν* collocat Q ‖ **1019** *φεῦ* om. KS | *καίτοι* Wakefield *καὶ σὺ* AUYZo *καί σοι* rell. et *γρ.* AUY | *ηὐξάμην* LKQ *εὐξ-* L[1] s. l., rell. ‖ **1023** *τε* AUY *γε* rell. ‖ **1024** *δισσῶν* AUY: cf. 264 ‖ **1025** *κἀπάτηι* GR: *κλοπῆι* per *ἀπάτηι* explicant Σ et glossemata | *ῥαγεὶς* Zo ‖ **1028** *ἐξέβαλον* GQST[gl] *ἐξέβαλλον* R *ἔκβαλον* Zg *ἔβαλλον* KV ‖ **1032** *εὔξεσθ'* codd.: corr. Pierson: *ὅτι θῦσαι οὐκ ἔστι* ΣL | *ὁμοῦ* G[γρ], coni. Gernhard *ἐμοῦ* rell. ‖ **1035** *ὀλεῖσθε* Brunck *ὄλισθε* Y *ὄλοισθε* rell. ‖ **1037** *δ'* LVZgZoT om. K *γ'* rell.

εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐπόψιοι,
τείσασθε, τείσασθ' ἀλλὰ τῶι χρόνωι ποτὲ
ξύμπαντας αὐτούς, εἴ τι κἄμ' οἰκτίρετε·
ὡς ζῶ μὲν οἰκτρῶς, εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.
ΧΟ. *βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν*
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.
ΟΔ. *πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,*
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν εἰς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτόν, μηδὲ προσψαύσητ' ἔτι·
ἐᾶτε μίμνειν. οὔτι σοῦ προσχρῄζομεν
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνων τῆιδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε σὴν Λῆμνον πατῶν·
ἡμεῖς δ' ἴωμεν· καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν, ἣν σὲ χρῆν ἔχειν.

1039 *ἐμοῦ*] sunt qui sollicitent ‖ **1043** *ὃς* Dorat ‖ **1046** *ὑπείκοντος* Wecklein ‖ **1048** *παρήκοι* **QVT** | *ἑνὸς*] *ἐγὼ* **Q**, verum **Q**$^{2\gamma\rho}$ ‖ **1051** *μου* om. **LKSV** *με σὺ* **Q**, verum **Q**^{gl} ‖ **1052** *κρείσσων* **L**$^{s\gamma\rho}$**G**$^{\gamma\rho}$**R**, idem **S**$^{\gamma\rho}$ supra *νικᾶν* *κρείττων* **V**^{gl} ‖ **1053** *σοῦ* **R** *σό●* **Q** ‖ **1054** *-ητέ τι* **VUZgT** ‖ **1055** *οὔτι* Wakefield *οὐδὲ* codd. | *σου* **AUY** ‖ **1059** *κρατύνειν μηδ'* codd.: corr. Pflugk ‖ **1060** *σὴν* Walter *τὴν* codd. ‖ **1062** *ἐμὴν* **V** | *νέμοιεν* **Q** | *σὲ χρῆν* Ellendt *ἐχρῆν σ'* **G**^{ac} *ἐχρήν σ'* **G**^{pc}**R** *σ' ἐχρὴν* **Q** *σ' ἐχρῆν* rell.

ΦΙ. οἴμοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανῆι;
ΟΔ. μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.
ΦΙ. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;
ΟΔ. χώρει σύ· μὴ πρόσλευσσε, γενναῖός περ ὤν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
ΦΙ. ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
λειφθήσομαι δή, κοὐκ ἐποικτερεῖτέ με;
ΧΟ. ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
οὗτος λέγηι σοι, ταὐτά σοι χἠμεῖς φαμεν.
ΝΕ. ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτωι δοκεῖ,
χρόνον τοσοῦτον εἰς ὅσον τά τ' ἐκ νεὼς
στείλωσι ναῦται καὶ θεοῖς εὐξώμεθα.
χοὗτος τάχ' ἂν φρόνησιν ἐν τούτωι λάβοι
λῴω τιν' ἢ νῦν. νὼ μὲν οὖν ὁρμώμεθον,
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

ΦΙ. ὦ κοίλας πέτρας γύαλον στρ. α
θερμὸν καὶ παγετῶδες, ὥς
σ' οὐκ ἔμελλον ἄρ', ὦ τάλας,
λείψειν οὐδέποτ', ἀλλά μοι
καὶ θνήισκοντι συνείσηι.

1064 *ὅπλοις ἐν Ἀργείοισι κοσμηθεὶς* Mekler || **1069** *ἡμῶν γ'* Zo | *διαφθαρῇς* **GRS** *-αρεῖς* Q^{pc}**Y** *-αρείς* **V** || **1071** *λειφθήσομ' ἤδη* codd.: corr. Wakefield || **1076** *τ' ἐκ*] *τῆς* Tournier || **1078** *χοὔτως* G^{1} s. l., **R** || **1079** *ἢ νῦν* Blaydes *ἡμῶν* **R** in lin. *ἡμῖν* **R** s. l., rell. | *νὼ*] *νῦν* U^{ac} | *ὁρμώμεθα* **GS**, verum $G^{γρ}$ || **1080** *ὁρμᾶσθε* **GQSZo** || **1082** *θερμὸν* **T**, silente **ΣT** *θερμόν τε* rell. || **1083** *ὢ* Blaydes *ὦ* **L** *ὁ* **GRSVZo** *ὦ* rell. || **1084** *οὐδέποτ'* **QT** *οὐδέποτε* rell. || **1085** *συνείσηι* Reiske *συνέσηι* **S** *συνοίσει* **A** *συνοίσηι* rell.

ὤμοι μοί μοι.
ὦ πληρέστατον αὔλιον
λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν,
τίπτ' αὖ μοι τὸ κατ' ἦμαρ ἔσται;
τοῦ ποτε τεύξομαι
σιτονόμου μέλεος πόθεν ἐλπίδος;
ἴθ' αἱ πρόσθ' ἄνω
πτωκάδες ὀξυτόνου διὰ πνεύματος·
ἅλωσιν οὐκέτ' ἴσχω.

ΧΟ. *σύ τοι κατηξίωσας, ὦ βαρύποτμε* ⟨–⟩·
†*οὐκ ἄλλοθεν ἔχηι τύχαι τᾶιδ' ἀπὸ μείζονος*†
εὖτέ γε παρὸν φρονῆσαι
λωίονος δαίμονος εἵ-
λου τὸ κάκιον αἰνεῖν.

ΦΙ. *ὢ τλάμων τλάμων ἆρ' ἐγὼ* ἀντ. α
καὶ μόχθωι λωβατός, ὃς ἤ-
δη μετ' οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας
ναίων ἐνθάδ' ὀλοῦμαι,
αἰαῖ αἰαῖ,

1086 *οἴμοι* **AUY** ‖ **1089** *τίπτ'* Musgrave *τί ποτ'* codd. ‖ **1092** *ἴθ'* Hermann *εἴθ'* codd. | *αἱ πρόσθ'* olim Hermann *αἰθέρος* codd. ‖ **1093** *πτωχάδες γρ.* **ΣT**: et hoc et *πτωμάδες, πρωτάδες* (*πτ-* **S**), *δρομάδες* **L**[sγρ]**S**[γρ] *πτωκάδος* **Zo** *ἅρπυιαι* **Q**, error ex **Σ** et gl. ‖ **1094** *ἅλωσιν* Jeep *ἕλωσί μ'* codd. | *οὐκέτ' ἴσχω* Dissen *οὐ γὰρ ἔτ' ἰσχύω* codd. ‖ **1095** *σύ τοι* semel **KS** bis rell., sed *τοι* alt. om. **V** | *τάδ' ἠξίωσας* Blaydes ‖ **1096** *κοὐκ* **QS**, coni. Wecklein ‖ **1097** *ἔχει* **L** in lin. | *ἁ τύχα ἅδ',* eiecto *ἔχηι,* Dindorf ‖ **1098** *γε*] *γὰρ* **VA** ‖ **1099** *λωίονος* Bothe *τοῦ λώιονος* codd. *τοῦ πλέονος* Hermann *πλείονος* **Σ** ‖ **1100** *αἰνεῖν* Hermann *ἑλεῖν* codd. ‖ **1101** *ὢ* **ZoT** *ὦ* rell. | *τλῆμον* bis **GQRSZg**

οὐ φορβὰν ἔτι προσφέρων,
οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων,
κραταιαῖς μετὰ χερσὶν ἴσχων·
ἀλλά μοι ἄσκοπα
κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός·
ἰδοίμαν δέ νιν,
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμᾶς λαχόντ' ἀνίας.

ΧΟ. *πότμος σε δαιμόνων τάδ', οὐδέ σέ γε δόλος*
ἔσχ' ὑπὸ χειρὸς ἐμᾶς· στυγερὰν ἔχε
δύσποτμον ἀρὰν ἐπ' ἄλλοις·
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει,
μὴ φιλότητ' ἀπώσηι.

ΦΙ. *οἴμοι μοι, καί που πολιᾶς* *στρ. β*
πόντου θινὸς ἐφήμενος
γελᾶι μου, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφάν,
τὰν οὐδείς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεινὸν ὁρᾶις, φρένας εἴ τινας
ἔχεις, τὸν Ἡράκλειον

1109 *πτανὸν* **KGRSV**, verum **G**^{γρ} *πτηνὸν* **Q** *εὐπτανῶν* pro *οὐ πτανῶν* Bergk ‖ **1111** *ἄψοφα* **T**^{γρ}, et *γρ.* **ΣLS** ‖ **1113** *ἴδοιμι δέ γε νιν* **T**, silente **ΣT** ‖ **1115** *ἐμὰς* **AUYT**, v. l. in **S** | *ἀνίας τάσδε* **T**, silente **ΣT**: sed cf. 1094 ‖ **1116** *πότμος* iterat Erfurdt: cf. 1095 ‖ **1117** *γε* om. **QSVZgT** ‖ **1120** *ἀρὰν* semel **GR** bis rell. ‖ **1123** *μοι*] *οἴμοι* **ZgZo** ‖ **1125** *μοι* Wakefield | *χερὶ* **GRT** *χειρὶ* rell. ‖ **1127** *οὐ δήποτ'* **Zo** ‖ **1129** *χερῶν* **T** ‖ **1130** *ἐλεεινὸν* codd.: corr. Brunck ‖ **1131** *ἴσχεις* **T**

† ἄθλιον† ὧδέ σοι
οὐκέτι χρησόμενον τὸ μεθύστερον,
ἄλλου δ' ἐν μεταλλαγᾶι
πολυμηχάνου ἀνδρὸς ἐρέσσηι,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
στυγνόν τε φῶτ' ἐχθοδοπόν,
μυρία τ' αἰσχρῶν ἀνατέλλονθ' ὅσ' ἐφ' ἡ-
μῖν κάκ' ἐμήσατ' † Ὀδυσσεύς†.

ΧΟ. *ἀνδρός τοι τὸ μὲν οὗ δίκαιον εἰπεῖν,*
εἰπόντος δὲ μὴ φθονερὰν
ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος δ' εἷς ἀπὸ πολλῶν
ταχθεὶς τάνδ' ἐφημοσύναν
κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγάν.

ΦΙ. *ὦ πταναὶ θῆραι, χαροπῶν* ἀντ. β
τ' ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾶι μηκέτ' ἀπ' αὐλίων
ἐλᾶτ'· οὐ γὰρ ἔχω χεροῖν

1132 *ἄθλιον* **LAU**$^{\gamma\varrho}$**YZo** *ἆθλον* **KGRUZg**, *γρ.* **LAY** *ἄθλον* **QSV** *ἄεθλον* **T** *ἄρθμιον* Erfurdt *διάδοχον* frequens gl. ‖ **1134** *ἀλλ' ἐν* codd.: corr. Hermann ‖ **1135** *ἑλίσσηι* Wecklein ‖ **1138** *μυρία τ'* Gernhard *μυρί' ἀπ'* codd. | *ὃς* **V**, coni. Bothe *ὅσσ'* **ZgZo** ‖ **1139** *Ὀδυσσεύς*] *οὗτος* Campbell *ὦ Ζεῦ* Dindorf ‖ **1140** *οὗ* ('sui') Brooks: *οὗ* ('ubi') iam Palmer *εὖ* codd., quod post *δίκαιον* collocant **GQR** (*εὖ* **G**^{c}) ‖ **1142** *γνώμας* **Zo** ‖ **1143** *δ'* del. Brunck ‖ **1144** *τάνδ' ἐφημοσύναν* Blaydes *τοῦδ'* codd., dein *εὐφημοσύναν* **T** *εὐφημοσύναι* **V** *ὑφημοσύναι* rec. et Hermann *ἐφημοσύναι* rell. *τῶνδ' ἐφημοσύναι* Gernhard ‖ **1146** *πταναὶ* **AUY** *πτηνοὶ* **S** *πτηναὶ* rell. ‖ **1148** *οὐρεσιβώτας* **SUYZgT** *οὐρεσσ-* **L** *-βῶτας* **K** *-βότας* **GQRV** *-βάτας* **AZo** ‖ **1149** *μηκέτ'* Dorat *μ' οὐκέτ'* codd. ‖ **1150** *πελᾶτ'* codd.: corr. Canter

τὰν πρόσθεν βελέων ἀλκάν,
ὤ δύστανος ἐγὼ τανῦν·
ἀλλ' ἀνέδην, ὅτε χωρὶς ἐρύκομαι
οὐκέτι φοβητὸς ὑμῖν,
ἕρπετε· νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας·
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
πόθεν γὰρ ἔσται βιοτά;
τίς ὧδ' ἐν αὔραις τρέφεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμ-
πει βιόδωρος αἶα;

ΧΟ. *πρὸς θεῶν, εἴ τι σέβηι, ξένον πέλασσον*
εὐνοίαι πάσαι πελάταν·
ἀλλὰ γνῶθ', εὖ γνῶθ', ἐπὶ σοὶ
κῆρα τάνδ' ἀποφεύγειν·
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς
δ' ὀχεῖν μυρίον ἄχθος ὧι ξυνοικεῖ.

ΦΙ. *πάλιν, πάλιν παλαιὸν ἄλ-*
γημ' ὑπέμνασας, ὦ
λῷστε τῶν πρὶν ἐντόπων.

1151 *πρόσθεν* VZgZoT *πρόσθε* rell. | *ἀκμάν* metri gr. Hermann || **1152** *ὦ* codd. || **1153** *ἀναίδην* in lin. LS, fort. etiam Q^{ac} Y^{ac} | *ὅτε* Wecklein *ὅδ' ὁ* S *ὅδε* rell. | *χωρὶς* Headlam *χῶρος* codd. | *ἐρύκεται* codd.: corr. Blaydes, qui tamen *χωλὸς* (Porson) recepit || **1155** *ἕρπεται* VAZo || **1156** *κορέσαι τε* GRSV || **1157** *ἀμᾶς* Blaydes | *τάσδ' αἰόλας σαρκός*, sine *ἐμᾶς*, T, silente ΣT || **1163** *πέλασσον* LAY *πέλασον* rell. || **1165** *ἐπὶ σοὶ* Seyffert *ὅτι σοι* codd. *ὅτι σὸν* Dindorf || **1166** *ἀποφυγεῖν* Q^{ac}ZgZoT, novit ΣL || **1168** *ὀχεῖν* Zg, novit ΣL *ἔχειν* rell. | *ὧι* Q^{ac}SAUY *ὃ* Q^{pc} rell. || **1170** *ὑπέμνασάς μ'* T

τί μ' ὤλεσας; τί μ' εἴργασαι;
ΧΟ. τί τοῦτ' ἔλεξας;
ΦΙ. εἰ σὺ τὰν
στυγερὰν Τρωιάδα γᾶν μ' ἤλπισας ἄξειν.
ΧΟ. τόδε γὰρ νοῶ κράτιστον.
ΦΙ. ἀπό νύν με λείπετ' ἤδη.
ΧΟ. φίλα μοι φίλα ταῦτα παρήγγει-
λας ἑκόντι τε πράσσειν.
ἴωμεν, ἴωμεν
ναὸς ἵν' ἡμῖν τέτακται.
ΦΙ. μή, πρὸς ἀραίου Διός, ἔλ-
θῃς, ἱκετεύω.
ΧΟ. μετρίαζ'.
ΦΙ. ὦ ξένοι,
μείνατε, πρὸς θεῶν.
ΧΟ. τί θροεῖς;
ΦΙ. αἰαῖ αἰαῖ,
δαίμων δαίμων, ἀπόλωλ' ὁ τάλας.
ὦ πούς, πούς, τί σ' ἔτ' ἐν βίωι
τεύξω τῶι μετόπιν, τάλας;
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.
ΧΟ. τί ῥέξοντες; ἀλλόκοτοι

1174 *τὰν* Hartung *τὰν ἐμοὶ* codd. || 1175 *γαῖαν* **AUY** | *μ' ἤλπισας* **AUY** *ἤλπισάς μ'* rell. || **1177** *ἤδη*] *ὧδε* **ZgZo** || **1178** *φίλα*^{2} del. Hartung || **1180** *ἴομεν* **LKS**, s. l. **UY** || **1181** *λαὸς* Dawe || **1186** *ὦ ξένοι* ante *αἶ αἶ αἶ αἶ* add. **V** || **1187** *δαῖμον* bis **GQR ZgZo** | *ὁ* L^{pc}**ZgZoT** *ὦ* L^{ac} rell. || **1188** *τί σ' ἔτ'* **LSYZo** *τίς ἔτ'* **KGA** *τίς σ' ἔτ'* **U** *τί ἔτ'* **Zg** *τί σέ τ'* **QRVT** (accentus neglego) || **1189** *τῶι* **LGQZgT** *τὸ* rell. || **1191** *ῥέξοντος* Vauvilliers || **1191** sq. *ἀλλοκότωι γνώμαι* codd.: corr. Dawe, praeeunte Page (*-κοτος γνώμα*)

γνῶμαι τῶν πάρος ἃς προφαίνεις.
ΦΙ. οὔτοι νεμεσητόν ⟨μ'⟩
ἀλύοντα χειμερίωι
λύπαι καὶ παρὰ νοῦν θροεῖν.
ΧΟ. βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.
ΦΙ. οὐδέποτ', οὐδέποτ', ἴσθι τόδ' ἔμπεδον,
οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς
βροντᾶς αὐγαῖς μ' εἶσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνωι
πάντες ὅσοι τόδ' ἔτλασαν ἐμοῦ ποδὸς
ἄρθρον ἀπῶσαι.
ὦ ξένοι, ἕν γέ μοι εὖχος ὀρέξατε.
ΧΟ. ποῖον ἐρεῖς τόδ' ἔπος;
ΦΙ. ξίφος εἴ ποθεν
ἢ γένυν ἢ βελέων τι προπέμψατε.
ΧΟ. ὡς τίνα ⟨δὴ⟩ ῥέξῃς παλάμαν ποτέ;
ΦΙ. χρῶτ' ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερί.
φονᾶι, φονᾶι νόος ἤδη.
ΧΟ. τί ποτε;
ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς;
ΦΙ. ἐς Ἅιδου·

1192 *τῶν*] *τᾶς* Blaydes | *ἃς* Dawe *ὧν* codd. *ἂν* Blaydes, et sic Page | *προφαίνεις* Pearson *προύφαινες* **GQRSZgZoT** *προύφανες* **LKVAUY** || **1193** *οὔτι* **GA**^{ac} | *νεμεσσητὸν* **LS** | *μ'* add. Page metri gr. | *σαλεύοντα* Earle || **1196** *ὥς σε*] *ὅπου* **ZgZo** *οἷ σε* Reiske || **1199** *βροντᾶς* **ΣL** *βρονταῖς* codd. | *αὐγαῖς γρ.* **ΣLS** *αὐταῖς* codd. || **1200** *ἐπ'* **ZgZo** | *ἐκεῖνο* **QS**, **R** s. l. *-ων* **V** || **1203** *ὦ* Erfurdt *ἀλλ' ὦ* codd.: fortasse latet et hic *ᾶ ᾶ ᾶ ᾶ*: cf. 782 || **1206** *δὴ* add. Hermann | *ῥέξεις* **G** *ῥέξειας* **T** *ἀράξῃς* **K** || **1207** *χρῶτ'* Hermann *κρᾶτ'* codd. | *τέμω* **LRAUYZgZo** *τεμῶ* **GQSVT** *τ' ἐμῶι* **K** || **1209** *νόος* **LQSZgZoT** *νόσος* **K**^{pc}**GRVAUY** *ὅσος* **K**^{ac} || **1210** *ματεύων* **LSVAUY** *μαστεύων* rell. || **1211** *ἐς* **GRAUY** *εἰς* rell.

οὐ γὰρ ἐν φάει γ' ἔτι.
ὦ πόλις, πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ,
ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ' ἐχθροῖς
ἔβαν Δαναοῖς ἀρωγός; ἔτ' οὐδέν εἰμι.

ΧΟ. [*ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ*
στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα τόν τ' Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.]
⟨. . . . .⟩
ΟΔ. *οὐδ' ἂν φράσειας ἥντιν' αὖ παλίντροπος*
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῆι ταχύς;
ΝΕ. *λύσων ὅσ' ἐξήμαρτον ἐν τῶι πρὶν χρόνωι.*
ΟΔ. *δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;*
ΝΕ. *ἣν σοὶ πιθόμενος τῶι τε σύμπαντι στρατῶι…*
ΟΔ. *ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;*
ΝΕ. *ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.*
ΟΔ. *τὸν ποῖον; ὤμοι· μῶν τι βουλεύηι νέον;*
ΝΕ. *νέον μὲν οὐδέν, τῶι δὲ Ποίαντος τόκωι…*
ΟΔ. *τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.*
ΝΕ. *παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν…*
ΟΔ. *ὦ Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;*

1212 *γὰρ* Hermann *γὰρ ἔτ'* **ZgZo** *γὰρ ἔστ'* rell. ‖ **1213** *πόλις*^{2} Gleditsch *ὦ πόλις* codd. *ὦ* Dindorf ‖ **1218–1221** damnavit Mekler: emendationes referre supersedimus ‖ **1218** *ὁμοῦ*] *ἐγγὺς* **L**^{1} s. l., **GQRS**: *λείπει ἐγγὺς* gl. in **AUY** ‖ **1221** *ἐλεύσσομεν* **L**^{1pc}**AUYZgZoT** *ἐλεύσομεν* **KGQ**^{pc}**R SV** *λεύσομεν*, cum *ἰόντα*, **Q**^{ac}**V** ‖ **1222** *οὐδ'* **L** s. l., **KSV** *κοὐκ* **Q** *οὐκ* rell. | *ἂν*] *αὖ* **L** s. l., **KV** ‖ **1226** *πιθόμενος* **AUY** *γε πειθόμενος* **ZoT** *πειθόμενος* rell. ‖ **1231** *τί χρῆμα* **SAUYZgZoT** *τί χρῆμα τί* **LKGQRV** | *ὑπῆλθ' ἔτι* **L**^{ac}, corr. **L**^{s} *ὑπῆλθέ τοι* Seyffert ‖ **1232** *παρ' οὗ παρέλαβον* **QS** (*παρέλαβον* **G**^{gl}) | *τὰ* **LK**^{pc}**SA UY** om. **K**^{ac} rell. ‖ **1233** *οὔ*] *ἦ* **GQR**

ΝΕ. *αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκηι λαβὼν ἔχω.*
ΟΔ. *πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;*
ΝΕ. *εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.*
ΟΔ. *τί φής, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;*
ΝΕ. *δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;*
ΟΔ. *ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.*
ΝΕ. *εὖ νυν ἐπίστω πάντ' ἀκηκοὼς λόγον.*
ΟΔ. *ἔστιν τις, ἔστιν ὅς σε κωλύσει τὸ δρᾶν.*
ΝΕ. *τί φής; τίς ἔσται μ' οὐπικωλύσων τάδε;*
ΟΔ. *ξύμπας Ἀχαιῶν λαός, ἐν δὲ τοῖς ἐγώ.*
ΝΕ. *σοφὸς πεφυκὼς οὐδὲν ἐξαυδᾶις σοφόν.*
ΟΔ. *σὺ δ' οὔτε φωνεῖς οὔτε δρασείεις σοφά.*
ΝΕ. *ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.*
ΟΔ. *καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,*
πάλιν μεθεῖναι ταῦτα;
ΝΕ. *τὴν ἁμαρτίαν*
αἰσχρὰν ἁμαρτὼν ἀναλαβεῖν πειράσομαι.
ΟΔ. *στρατὸν δ' Ἀχαιῶν οὐ φοβῆι, πράσσων τάδε;*
1251a ΝΕ. *ξὺν τῶι δικαίωι τὸν σὸν οὐ ταρβῶ †φόβον†.*
1251b ΟΔ. ⟨. . . . .⟩
ΝΕ. *ἀλλ' οὐδέ τοι σῆι χειρὶ πείσομαι τὸ δρᾶν.*
ΟΔ. *οὔ τἄρα Τρωσίν, ἀλλὰ σοὶ μαχούμεθα.*

1235 *δὴ* **AUY** om. rell. || **1238** *ταὐτὰ* **LKGRS** *ταῦτα* rell. || **1240** punctum post *ἐπίστω* habet **L** | *ἀκηκοὼς* **LQRVZoT** *ἀκήκοας* **KGSAUYZg** || **1242** *ἐστι* Ebner | *οὐπικωλύων* Herwerden || **1243** *λαός*] *στρατός* **ZgZo** | *τοῖς* **ZgZo** *τοῖσδ'* rell. || **1245** *σοφά* Brunck *σοφόν* codd. || **1251** *φόβον*] *στρατόν* Hermann, qui etiam lacunam indicavit *ψόφον* Fröhlich || **1252** sq. Ulixi trib. **GQRUYT** 1252 Ulixi, 1253 Neoptolemo **LKSV** vice versa **ZgZo** et ed. Aldina ante 1252 personae nota caret **A**, ante 1253 legi nequit 1253 ante 1252 traiecit Hermann || **1252** *πείθομαι* codd.: corr. Bothe: *πεισθήσομαι* **Σ**, **T**[gl]

ΝΕ. *ἔστω τὸ μέλλον.*
ΟΔ. *χεῖρα δεξιὰν ὁρᾶις*
κώπης ἐπιψαύουσαν;
ΝΕ. *ἀλλὰ κἀμέ τοι*
ταὐτὸν τόδ' ὄψει δρῶντα, κοὐ μέλλοντ' ἔτι.
ΟΔ. *καίτοι σ' ἐάσω· τῶι δὲ σύμπαντι στρατῶι*
λέξω τάδ' ἐλθών, ὅς σε τιμωρήσεται.
ΝΕ. *ἐσωφρόνησας· κἂν τὰ λοίφ' οὕτω φρονῆις,*
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,
ἔξελθ' ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙ. *τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;*
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι, ξένοι;
ὤμοι κακῶν· τί χρῆμα; μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;
ΝΕ. *θάρσει· λόγους δ' ἄκουσον οὓς ἥκω φέρων.*
ΦΙ. *δέδοικ' ἔγωγε· καὶ τὰ πρὶν γὰρ ἐκ λόγων*
καλῶν κακῶς ἔπραξα σοῖς πεισθεὶς λόγοις.
ΝΕ. *οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;*
ΦΙ. *τοιοῦτος ἦσθα τοῖς λόγοισι χὤτε μου*
τὰ τόξ' ἔκλεπτες· πιστός, ἀτηρὸς λάθραι.

1254 sqq. *ἔστω τὸ μέλλον* Ulixi, *χεῖρα ... ἐπιψαύουσαν* Neoptolemo **LKV** | *ἀλλὰ κἀμέ τοι ... ἔτι* Ulixi trib. **LKUY**: personae nota caret **A** *ἔστω ... ἔτι* Neoptolemo trib. **R** personarum notae in S dispici nequeunt || **1255** *ἐπιψαύσουσαν* **KSV** || **1261** *σοὶ* **AUY**, quo recepto *Φιλοκτήτης, λέγω* coni. Matthiae | *Φιλοκτήτηι* **S** || **1262** *πετρίνους* **Q** || **1263** om. $\mathbf{L}^{ac}$, add. $\mathbf{L}^{s}$ || **1264** *ἐγκαλ-* $\mathbf{Zg}^{ac}\mathbf{Zo}$ | *φίλοι* **R** || **1265** *ὤμοι* (*οἴμοι* $\mathbf{Q}^{c}$) · *κακὸν τὸ χρῆμα* codd.: corr. Page (*κακῶν* iam Fl. Chrestien) | *μέγα*] *νέον* Schneidewin || **1266** *κακά* **L** in lin. || **1267** *δ'* om. **Q** *τ'* Wakefield || **1269** *σοῦ* **Q** | *δόλοις* Grégoire, Schirlitz || **1271** *οἶσθα* **AUZgZo**

ΝΕ. *ἀλλ' οὔ τι μὴν νῦν· βούλομαι δέ σου κλύειν*
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν.
ΦΙ. *παῦε, μὴ λέξῃς πέρα·*
μάτην γὰρ ἂν εἴπῃς γε πάντ' εἰρήσεται.
ΝΕ. *οὕτω δέδοκται;*
ΦΙ. *καὶ πέρα γ' ἴσθ' ἢ λέγω.*
ΝΕ. *ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις*
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι.
ΦΙ. *πάντα γὰρ φράσεις μάτην.*
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσῃι φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ
ἐλθών, ἀρίστου πατρὸς αἴσχιστος γεγώς.
ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ
ὁ Λαρτίου παῖς, καὶ σύ.
ΝΕ. *μὴ 'πεύξῃι πέρα·*
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙ. *πῶς εἶπας; ἆρα δεύτερον δολούμεθα;*
ΝΕ. *ἀπώμοσ' ἁγνὸν Ζηνὸς ὑψίστου σέβας.*
ΦΙ. *ὦ φίλτατ' εἰπών, εἰ λέγεις ἐτήτυμα.*
ΝΕ. *τοὔργον παρέσται φανερόν· ἀλλὰ δεξιὰν*
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔ. *ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,*

1273 *μὴ* **AUYZgT** || **1275** *παῦε* **T** *παῦσαι* rell. || **1276** *ἂν* **AUYT** om. **V** *ἄν* rell. | *γε*] *σὺ* Dobree || **1282** *βιὸν* Wesseling || **1284** *ἐλθεῖν* $G^{\gamma\varrho}Q^{2\gamma\varrho}$ | *ἔχθιστος* codd.: corr. Pierson || **1286** *Λαρτίου* **LQRAUY** *Λαερτίου* **KGSVZgT** *Λαέρτου* **Zo** || **1288** *ἆρα* Porson *οὐκ ἆρα* **LQU** *οὐκ ἄρα* rell. || **1289** *ἁγνὸν* Wakefield *ἁγνοῦ* codd. | *ὑψίστου* **V**, coni. Wakefield *ὕψιστον* rell. || **1291** *πάρεστι* **GR** || **1293** *ὦ* Reiske *ὧι* Tournier

ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.
ΦΙ. τέκνον, τίνος φώνημα, μῶν Ὀδυσσέως,
ἐπῃσθόμην;
ΟΔ. σάφ' ἴσθι· καὶ πέλας γ' ὁρᾶις,
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίαι,
ἐάν τ' Ἀχιλλέως παῖς ἐάν τε μὴ θέληι.
ΦΙ. ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῆι βέλος.
ΝΕ. ἆ, μηδαμῶς, μή, πρὸς θεῶν, μεθῆις βέλος.
ΦΙ. μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.
ΝΕ. οὐκ ἂν μεθείην.
ΦΙ. φεῦ· τί μ' ἄνδρα πολέμιον
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
ΝΕ. ἀλλ' οὔτ' ἐμοὶ καλὸν τόδ' ἐστὶν οὔτε σοί.
ΦΙ. ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμήν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕ. εἶέν· τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
ΦΙ. ξύμφημι, τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες, οὐχὶ Σισύφου πατρός,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν
ἤκου' ἄριστα, νῦν δὲ τῶν τεθνηκότων.
ΝΕ. ἥσθην πατέρα τὸν ἀμὸν εὐλογοῦντά σε

1294 *τ'* **ZgZoT** om. rell. ‖ **1297** post hunc versum deficit **S** usque ad finem ‖ **1300** *ἆ* **T** *ἆ ἆ* vel sim. rell. | *μεθῆις*] *μὴ 'φῆις* Meineke ‖ **1302** *τί μ'* **VAUY** *τίν'* rell. ‖ **1303** *θανεῖν* **T** ‖ **1304** *τόδ'* **GRZo**, coni. Brunck *τοῦτ'* rell., quo accepto *καλόν* post *σοι* traiecit Wakefield ‖ **1308** *εἶεν* codd. | *δὴ* om. **LQV ZgZo** *νυν* Wecklein | *ὅτου* Tournebou *ὅπου* codd. ‖ **1310** *δ'* **AUYZgZoT** om. **LKGQRV** ‖ **1312** *θ'* **AU**pc**Y** om. **U**ac rell. ‖ **1313** *τε* Tournebou ‖ **1314** *πατέρα τε*, ubi *τε* s. l., **AUY** | *ἀμὸν* **T** *ἐμὸν* rell.

αὐτόν τ' ἔμ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι
ἄκουσον· ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν,
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σύ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν οὔτ' ἐποικτίρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχηι,
ἐάν τε νουθετῆι τις εὐνοίαι λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω, Ζῆνα δ' ὅρκιον καλῶ·
[*καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.*]
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις.
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἂν τυχεῖν
νόσου βαρείας, ἕως ἂν αὑτὸς ἥλιος
ταύτηι μὲν αἴρηι, τῆιδε δ' αὖ δύνηι πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόληις,
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν
νόσου μαλαχθῆις τῆσδε, καὶ τὰ πέργαμα
ξὺν τοῖσδε τόξοις ξύν τ' ἐμοὶ πέρσας φανῆις.

1315 *τ' ἔμ'* **KVA**[ac]**U**[ac] *τέ μ'* **A**[pc]**U**[pc] rell. | *σοι* **GQR** || **1316** *θεοῦ* Suda 4, 612, 27 || **1318** *ἑκουσίηισιν* **VZg** *-ίαισιν* **QT** || **1319** *τούτοις* **AUY** *τούτοισιν* rell. || **1319** sq. *οὐδὲ ... οὐδ'* **ZgZo** || **1322** *εὐνοίαι* **AUYZg, T** s. l. *εὔνοιαν* **VZo** *εὔνοιάν σοι* rell. *εὔσοιαν* Schneidewin | *ἔχων* **Zo** || **1323** *δυσγεννῆ* **K** || **1324** *καλῶν* **G**, verum **G**[γρ]: *Ζῆνά γ' ὅρκιον καλῶν* Hartung || **1325** vers. eiecit Dawe || **1327** *Χρύσης* **VQAUY** *Χρυσῆς* rell. || **1329** *ἂν τυχεῖν* Porson *ἐντυχεῖν* codd. || **1330** *ἕως* **Q**, coni. Lambin *ὡς* rell. *ἔστ'* Brunck | *αὑτὸς* Heath *αὐτὸς* codd. *οὗτος* Brunck || **1332** *ἑκὼν αὐτὸς* **AUYT** *αὐτὸς ἑκὼν* rell. || **1333** *Ἀσκληπιδῶν* **LKQ**[ac]**VA**[pc]**UY** *-ιαδῶν* **A**[ac]**GRQ**[pc]**ZgZoT** *-ίδαιν* (et *τοῖν*) Dindorf: *-ιδαῖν* iam Porson

ὡς δ' οἶδα ταῦτα τῇιδ' ἔχοντ' ἐγὼ φράσω·
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢν δίδωσ' ἑκὼν
κτείνειν ἑαυτόν, ἢν τάδε ψευσθῆι λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων·
καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
ἐς χεῖρας ἐλθεῖν, εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα κλέος ὑπέρτατον λαβεῖν.
ΦΙ. *ὦ στυγνὸς αἰών, τί μ' ἔτι δῆτ' ἔχεις ἄνω*
βλέποντα, κοὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν;
οἴμοι, τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρήινεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς τάδ' ἔρξας εἶμι; τῶι προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισίν, οἵ μ' ἀπώλεσαν;
πῶς, τῶι πανώλει παιδὶ τῶι Λαερτίου;
[οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει,
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι

1337 *γὰρ*] *παρ'* Elmsley | *ἐστιν ἡμῖν* (*ἡμὶν* **T**) **ZgZoT** || **1342** *ψευδῆ* **GQR**, etiam $G^{\gamma\rho}$ | *λέγηι* **G** in lin., $Q^{\gamma\rho}$ *λέγει* **R** || **1343** *ἐπειδὴ* **QZg** || **1346** *εἰς* **AUY** || **1348** *μ' ἔτι δῆτ'* Toup *με δῆτ'* **GRA** *με τί δ'* **V** *με τῇιδ'* **T** *με τί δῆτ'* rell. || **1349** *ἐφῆκας* Herwerden || **1353** *ἔρξας* **AUYZo** *ἔρεξας* **R** | *τοῦ* Schaefer || **1354** *ἐμοῦ* **AUY** || **1357** *τῶι*^{2} om. **Q** *τοῦ* **GRZgT** || **1358** *με τἄλγος* **VAUYZgZoT** *μ' ἔτ' ἄλγος* **LKGQR** | *παρεστώτων* **Q** || **1358–1361** eiecit Dawe

δοκῶ προλεύσσειν· οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἆλλα παιδεύει κακά.]
καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε·
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν· ⟨........................
....................⟩ οἵ τε σοῦ καθύβρισαν,
πατρὸς γέρας συλῶντες· [οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκηι
Ὀδυσσέως ἔκριναν] εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, καί μ' ἀναγκάζεις τόδε;
μὴ δῆτα, τέκνον· ἀλλ', ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους, καὐτὸς ἐν Σκύρωι μένων
ἔα κακῶς αὐτοῦ 'ξαπόλλυσθαι κακούς·
χοὔτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσηι χάριν,
διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.
ΝΕ. *λέγεις μὲν εἰκότ'· ἀλλ' ὅμως σε βούλομαι*
θεοῖς τε πιστεύσαντα τοῖς τ' ἐμοῖς λόγοις
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.
ΦΙ. *ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως*
ἔχθιστον υἱὸν τῶιδε δυστήνωι ποδί;
ΝΕ. *πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν*
παύσοντας ἄλγους κἀποσώσοντας νόσου.

1360 *κακὸν* L^{ac} *κακοῦ* Seyffert ‖ **1361** *τἄργα* Erfurdt *κἄλλα* Cavallin | *κακούς* Dobree ‖ **1362** *σοῦ γ'* **QV** | *τάδε* **ZgZoT** *τέκος* **Q**^{γρ} ‖ **1363** *καλεῖν* **R**, **G**^{1} s. l. ‖ **1364** inter *ἀπείργειν* et *οἵ τε* hiatum indicavit Dawe | *οἵ γε* Heath ‖ **1365a–1365c** *οἳ τὸν ... ἔκριναν* eiecit Brunck ‖ **1365a** *γέρα* **ZgZo** *γέρας* ante *πατρὸς* collocat **T** ‖ **1366** *κἄμ'* Brunck | *τάδε* L^{ac}G^{γρ}**QAUY** ‖ **1367** *ἀλλά μ', ὃ ξυνῄνεσας* Blaydes: cf. 1398 *ἀλλά μ', οἷ ξ.* Robertson ‖ **1369** *κακοὺς ... κακῶς* Wakefield | *αὐτοὺς ἀπόλλυσθαι* codd.: corr. Dawe ‖ **1371** *τε* **K** ‖ **1377** *ὧδε* **Q** ‖ **1379** *κἀποσῴζοντας* codd.: corr. Heath

ΦΙ. ὢ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε;
ΝΕ. ἃ σοί τε κἀμοὶ λῷσθ' ὁρῶ τελούμενα.
ΦΙ. καὶ ταῦτα λέξας οὐ καταισχύνῃ θεούς;
ΝΕ. πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελῶν φίλους;
ΦΙ. λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τόδε;
ΝΕ. σοί που, φίλος γ' ὤν, χὼ λόγος τοιόσδε μου.
ΦΙ. πῶς, ὅς γε τοῖς ἐχθροῖσί μ' ἐκδοῦναι θέλεις;
ΝΕ. ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.
ΦΙ. ὀλεῖς με, γιγνώσκω σε, τοῖσδε τοῖς λόγοις.
ΝΕ. οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.
ΦΙ. ἐγὼ οὐκ Ἀτρείδας ἐκβαλόντας οἶδά με;
ΝΕ. ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ' ὅρα.
ΦΙ. οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
ΝΕ. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν, ὥσπερ ἤδη ζῇς, ἄνευ σωτηρίας.
ΦΙ. ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ·
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,

1381 *λῷσθ'* Dindorf *κἀλ'* **AUY** *καλῶς* rell. || **1383** *ὠφελῶν φίλους* Buttmann *ὠφελούμενος* codd. || **1384** *δ'* om. **GZgZo** | *τόδε* **GQ** *τάδε* rell. || **1385** *μου* Q^{2pc}**RAUY** *μοι* Q^{ac} rell. || **1386** *ἐχθροῖσί μ'* Valckenaer *ἐχθροῖσιν* codd. || **1387** *'νθρασύνεσθαι* Tournier || **1390** *ἐγὼ* Hermann *ἔγωγ'* codd. | *οὐκ* **LKGQ RV** om. **AUYZgZoT** || **1392** *τὴν Τροίαν*] *Τροίαν γ'* **ZgZo** | *ἰδεῖν*] *ἑλεῖν* **L** in lin., **GQR**$V^{2\gamma\rho}$ *ἐλθεῖν* $G^{\gamma\rho}$ *μολεῖν* Burges || **1394** *πείθειν* Schaefer *πεῖσαι* Nauck | *λέγω*] *χρεών* Blaydes || **1395** *ὡς ὥρα ἔστι μοι* **Zg** *ὡς ὥρ' ἔσται μοι* **Zo**: *ὥρα 'στ'*, cum nota interrogationis post *δρῷμεν* (1393), non post *λέγω* (1394), Bergk | *μὲν* **GQRAUY** *γε* **T** om. **LKVZgZo**, sed *τῶν γε λόγων* **Zo** | *σὲ δ' ἐᾶν* Schneidewin || **1397** *με δεῖ παθεῖν* **Zg** *δεῖ με παθεῖν* **Zo**

πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας· ἅλις γάρ τοι τεθρύληται λόγος.
ΝΕ. [εἰ δοκεῖ, στείχωμεν.
ΦΙ. ὦ γενναῖον εἰρηκὼς ἔπος.
ΝΕ. ἀντέρειδέ νυν βάσιν σήν.
ΦΙ. εἰς ὅσον γ' ἐγὼ σθένω.]
ΝΕ. αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι;
ΦΙ. μὴ φροντίσῃς.
ΝΕ. τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν;
ΦΙ. ἐγὼ παρὼν ...
ΝΕ. τίνα προσωφέλησιν ἔρξεις;
ΦΙ. βέλεσι τοῖς Ἡρακλέους ...
ΝΕ. πῶς λέγεις;
ΦΙ. εἴρξω πελάζειν σῆς πάτρας.
ΝΕ. ἀλλ' εἰ ⟨⏑–⟩
⟨–⏑⟩ †δρᾷς† ταῦθ' ὥσπερ αὐδᾷς, στεῖχε προσκύ-
σας χθόνα.

ΗΡΑΚΛΗΣ

μήπω γε, πρὶν ἂν τῶν ἡμετέρων
ἀίῃς μύθων, παῖ Ποίαντος·
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν λεύσσειν τ' ὄψιν.

1399 *πέμψειν* G, coni. Blaydes ‖ **1401** *τοι* **ZgZo** *μοι* rell. | *τεθρύληται* Hermann *τεθρήληται* **Zf** i. m. *τεθρύλληται* rec. *τεθρήνηται* rell. | *λόγος* **KAUY** *λόγοις* rell., sed *γόοις γρ.* **L^{s}G UYT** ‖ **1402** *εἰ δοκεῖ* del. Porson, ut eveniret ia. trim. ‖ **1402** sq. del. Dawe ‖ **1403** *νῦν* codd. ‖ **1406** *ἔρξεις* codd. | *Ἡρακλείοις* codd.: corr. Brunck ‖ **1407** *εἴρξω* **KT** | *πατρίδος* **K** ‖ **1407** sq. *ἀλλ' εἰ δοκεῖ ταῦτα δρᾶν ὅπωσπερ αὐδᾷς* Porson ‖ **1408** *τάδ' ὡς* **ZgZo** ‖ **1409** *μήπω πρίν γ' ἂν* Blaydes

τὴν σὴν δ' ἥκω χάριν οὐρανίας
ἕδρας προλιπὼν
τὰ Διός τε φράσων βουλεύματά σοι
κατερητύσων θ' ὁδὸν ἣν στέλλῃ·
σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.

καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾶν·
καὶ σοί, σάφ' ἴσθι, τοῦτ' ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.
ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
πόλισμα, πρῶτον μὲν νόσου παύσῃ λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μέν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' εἰς μέλαθρα σὰ
πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
ἃ δ' ἂν λάβῃς σὺ σκῦλα †τοῦδε τοῦ στρατοῦ†
τόξων ἐμῶν μνημεῖα πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ', Ἀχιλλέως τέκνον,
παρῄνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον οὔθ' οὗτος σέθεν·
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον
οὗτος σὲ καὶ σὺ τόνδ'. ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον·

1418 *δείξω* Bergk || **1424** *πτόλισμα* **KGQR** || **1427** *νοσφιεῖς* **GQRAUY** *νοσφίσεις* **LKVZgZoT** || **1429** *ἐκλαβὼν* **Zo**[pc], coni. Tournebou *ἐκβαλὼν* **Zo**[ac] rell. || **1430** *πλάκας* **VAU**[ac] || **1431** fort. etiam *σκῦλα* corruptum | *στόλου* Hermann || **1433** *σὺ* **LKZgZo** | *ταὖτ'* Heath

τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. τοῦτο δ' ἐννοεῖθ', ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς·
ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς· οὐ γὰρ εὐσέβεια συνθνήισκει βροτοῖς·
κἂν ζῶσι κἂν θάνωσιν οὐκ ἀπόλλυται.

ΦΙ. *ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,*
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
ΝΕ. *κἀγὼ γνώμην ταύτηι τίθεμαι.*
ΗΡ. *μή νυν χρόνιοι μέλλετε πράσσειν.*
ὅδ' ἐπείγει γὰρ
καιρὸς καὶ πλοῦς κατὰ πρύμνην.
ΦΙ. *φέρε νυν στείχων χώραν καλέσω.*
χαῖρ', ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου, προβλής θ'
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
⟨. . . . .⟩
κρᾶτ' ἐνδόμυχον πληγαῖσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ

1440 *ἐννοεῖθ'* Elmsley *ἐννοεῖς* V *ἐννοεῖσθ'* rell. || **1441** *θεόν* Suda 2, 472, 11 || **1443** sq. del. Peters: 1442–1444 Dindorf || **1443** *οὐ* Fl. Chrestien *ἡ* codd. | *ηὐσέβεια* Dawes || **1448** *γνώμηι* codd.: corr. Lambin | *ταὐτῆι* Dobree || **1449** *πράττειν* codd.: corr. Brunck || **1450** sq. *καιρὸς καὶ πλοῦς ὅδ' ἐπείγει γὰρ* codd.: corr. Burges || **1451** *πρύμναν* codd.: corr. Hermann || **1452** *νυν* **T** *νῦν* rell. || **1455** *προβλής θ'* Musgrave *προβολὴς* Zo *προβλῆς* utroque accentu **Q** *προβλὴς* rell. *προβολῆς* Hermann || **1456** post hunc versum lacunam statuit Dawe || **1457** *πληγῆισι* codd.: corr. Dindorf || **1459** *Ἑρμαῖον* **GQR**, Eustathius 1809, 42 *Ἕρμαιον* rell.

στόνον ἀντίτυπον χειμαζομένωι.
νῦν δ', ὦ κρῆναι Λύκιόν τε ποτόν,
λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
καί μ' εὐπλοίαι πέμψον ἀμέμπτως
ἔνθ' ἡ μεγάλη Μοῖρα κομίζει
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων ὃς ταῦτ' ἐπέκρανεν.

ΧΟ. *χωρῶμέν νυν πάντες ἀολλεῖς,*
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι
νόστου σωτῆρας ἱκέσθαι.

1461 *Λύκιόν* L^{pc} et ΣL *γλύκιόν* L^{ac} rell. || **1463** *δόξης δ'* **V** || **1465** *εὐπλοίαν πέμψατ'* **K** || **1469–1471** del. Ritter || **1469** *νυν* **T**: *δὴ* T^{gl} et coni. Hermann *ἰδοὺ* **AUY** *ἤδη* rell. | *ἀολλεῖς* **AUY** *ἀολλέες* rell.

CONSPECTVS METRORVM

135–143 = 150–158

135/150	⏑–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
136/151	⏑––⏑⏑–⏑– ⏑––	phalaec.
137/152	–⏑–	cr.
138/153	⏑––⏓ –⏑⏑–	chor. dim. B
139/154	–– –––⏑⏑–⏑––	sp. + hipp.
140/155	⏑––⏑⏑–⏑–	glyc.
141/156	⏓ –⏑–⏑⏑–⏑–	anc. + glyc.
142/157	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
143/158	⏑–⏑– ⏑––	ia. dim. cat.

169–179 = 180–190

169/180	–– –⏑⏑–⏑–	glyc.
170/181	–– –⏑⏑–⏑–	glyc.
171/182	–⏓ –⏑⏑–⏑–	glyc.
172/183	–––⏑⏑––	pher.
173/184	⏓––⏑⏑–⏑⏒	glyc.
174/185	⏓––⏑⏑–⏑–	glyc.
175/186	–– –⏑⏑– –⏑⏑–	
176/187	–⏑⏑–⏑–	ascl. maior
177/188	–⏑⏑–⏑⏒	dodrans A
178/189	–––⏑⏑–⏑–	glyc.
179/190	–––⏑⏑––	pher.

201–209 = 210–218

201/210	–⏑⏑ ⏑– ⏑⏑ ⏑–⏑–⏑–	ia. + lekyth.
202/211	–– –⏑⏑– –⏑⏑–⏓	ascl. minor cat.
203/212	–––– –⏑⏑–	chor. dim. B
205/213	––– –⏑⏑–	chor. dim. B aceph.

206/215	––––⏒ –⏑⏑–	chor. dim. B
207/216	–⏓–⏒ –⏑⏑–	chor. dim. B
208/217	–⏒–⏑ –⏑⏑–	chor. dim. B
209/218	– –––⏑⏑–⏑– ––	anc. + glyc. + sp.

391–402 = 507–518

391/507	⏒–⏑– ––⏑–	ia. dim.
392/508	–⏑– –⏑⏒̇	2 cr.
393/509	––⏑– ––⏑– ⏓–⏑–	ia. trim..
395/510	⏒⏓⏓–⏓– ⏒⏒⏒–––	dochm. dim.
396/511	⏑–– ⏑––	2 ba.
397/512	⏑–– ⏑––	2 ba.
398/515	⏑ ⏑⏑ ⏑⏑ ⏑– ⏑ ⏑⏑ ⏑⏑ ⏑ ⏑̇	dochm. dim.
400/516	⏑–⏑– ⏑––⏑–	ia. + dochm.
401/517	⏑––⏑– ⏑––⏑–	dochm. dim.
402/518	⏑⏑⏑–⏑–	dochm.

676–690 = 691–705

676/691	⏑–⏑– ⏓–⏑– ⏑–⏑⏑̇	ia. trim.
677/692	–⏑⏑ –– –⏑⏑ –⏑⏑	dactyl. tetram.
678/693	⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	anc. + dactyl. tetram.
680/695	⏒–⏑– ⏑–⏓̇	ia. dim. cat.
681/696	–– –⏑⏑– –⏑⏑– –⏑⏑– ––	ascl. maior
682/697	–– –⏑⏑–⏑– ⏑––	phalaec.
683/698	⏑–⏑– ––⏑– ⏑–⏑–	ia. trim.
685/700	–⏑⏑– ⏑–⏑–	chor. dim. A
686/701	–⏑–⏑–⏑–	lekyth.
687/702	⏑⏑– –⏑⏑–	chor. dim. B aceph.
688/703	–⏑⏑– ⏑–⏑–	chor. dim. A
689/704	–⏑⏑– ⏑–⏑–	chor. dim. A
690a/705a	–⏑⏑– ⏑–⏑–	chor. dim. A
690b/705b	–⏑⏑–⏑––	aristoph.

706–717 = 718–729

706–7/718–9	–– –⏑⏑––⏑⏑ –––	ascl. minor
708–9/720–1	–– –⏑⏑––⏑⏑ –––	ascl. minor

710/722	–––⏑⏑– –⏑⏑–––	ascl. minor
711–2/723–4	–– –⏑⏑–⏑– ⏑––	phalaec.
713/725	–⏑⏑–––	dodrans A
714–5/726–7	–– –⏑⏑– –⏑⏑––⏑⏑–⏑–	ascl. maior
716/728	––⏑– ––⏑⏑–⏑–	ia. + teles.
717/729	––⏑⏑––	reiz.

827–838 = 843–854

827/843	–⏑⏑–⏑⏑–⏑⏑–⏑–	aeol. dactyl.
828/844	–⏕––– –––––	dochm. dim.
830/845	––––– –⏑⏑–––	dochm. dim.
831/847	––– –⏑⏑–⏑–	mol. + dochm.
832/848	⏑ ⏑⏑ ⏑– ––	ia. + sp.
833/849	– ⏑⏑ ⏑– –––	ia. + mol.
834/850	–⏑– –⏑– –	2 cr. + anc.
835/851	–⏑⏑ ⏑⏓ ––	ia. + sp.
836/852	–⏑⏑ ⏑– ––	ia. + sp.
837/853	–––––––––	3 mol.
838/854	⏑ ⏑⏑ ⏑⏑ ⏑ ⏑⏑–⏑⏑–⏑–	dochm. dim.

855–864

855	–– –⏑⏑–⏑–	glyc.
856–857	–⏑–⏑⏑–⏑– ⏑––	phalaec.
858	–⏑⏑–⏑⏑⏑̇	hemiepes
859	[⏑⏑– –⏑ ⏒⏑]	
860	–⏑⏑ –⏑⏑ –⏑⏑ ––	dactyl. tetram.
861	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
862	⏑–⏑– –⏑⏑̇	ia. dim. sync.
863a	– –⏑⏑–	anc. + chor.
863b	⏑⏑ ⏑– –⏑⏑–	cr. + chor.
864	⏑⏑ ⏑–⏑ –⏑–⏑̇	2 troch.

1081–1100 = 1101–1122

1081/1101	–––– –⏑⏑–	chor. dim. B
1082/1102	–––––⏑⏑– –– –⏑⏑–⏑–	glyc./chor. dim. B

1083/1103	–⏑–⏑⏑–⏑–	glyc.
1084/1105	–– –⏑⏑–⏑–	glyc.
1085/1106	–– –⏑⏑––	pher.
1086/1107	–– ––	2 sp.
1087/1108	–––⏑⏑–⏑–	glyc.
1088/1109	–– –⏑⏑–⏑–	glyc.
1089/1110	⏓––⏑⏑–⏑––	hipp.
1090/1111	–⏑⏑–⏑⏓	dodrans A
1091/1112	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
1092/1113	⏑––⏑–	dochm.
1093/1114	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
1094/1115	⏑–⏑– ⏑––	ia. dim. cat.
1095/1116	⏑–⏑– ⏑–⏑– ⏑ ⏑⏑ ⏑ ⟨⏓⟩	ia. trim.
1097/1118	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
1098/1120	–⏑⏑ ⏑– ⏑––	ia. dim. cat.
1099/1121	–⏑⏑– –⏑⏑–	chor. dim.
1100/1122	–⏑⏑–⏑––	aristoph.

1123–1145 = 1146–1168

1123/1146	–––– –⏑⏑–	chor. dim. B
1124/1147	–– –– –⏑⏑– –––⏑⏑–⏑–	glyc./chor. dim. B
1125/1148	⏒⏓–⏑⏑––	pher.
1126/1149	⏓⏒–⏑⏑–⏑–	glyc.
1127/1150	⏓– –⏑⏑–⏑–	glyc.
1128/1151	–––⏑⏑–⏒–	glyc.
1129/1152	–––⏑⏑–⏑⏒	glyc.
1130/1153	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
1131/1154	⏒⏓⏓⏑– ⏑––	ia. dim. cat.
1132/1155	–⏑⏑ –⏑⏑	dactyl. hexam.
1133/1156	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	
1134/1157	⏓–– ⏑–⏑–	mol./ba. + ia.
1135/1158	⏑⏑– ⏑⏑– ⏑⏑––	paroem. enopl.
1136/1159	⏑–⏑– –⏑⏑–	chor. dim. B
1137/1160	⏑–⏑– –⏑⏑–	chor. dim. B
1138/1161	–⏑⏑– ⏑–⏑– –⏑⏑–	chor. trim.
1139/1162	–⏑⏑–⏑––	aristoph.

1140/1163	–– –⏑⏑–⏑– ⏑––	phalaec.
1141/1164	–––⏒ –⏑⏑–	chor. dim. B
1142/1165	–––– –⏑⏑–	chor. dim. B
1143/1166	–⏓–⏑⏑––	pher.
1144/1167	–––⏒ –⏑⏑–	chor. dim. B
1145/1168	⏓––⏑⏑–⏑– ⏑––	phalaec.

1169–1217

1169	⏑–⏑– ⏑–⏑–	ia. dim.
1170	–⏑– –⏑–	cr. dim.
1171	–⏑–⏑–⏑–	lekyth.
1172	⏑–⏑– ⏑–⏑–	ia. dim.
1173	⏑–⏑– ⏑–⏑–	ia. dim.
1175	⏑⏑–– ⏑⏑–– ⏑⏑––	ion. trim.
1176	⏑⏑–⏑–⏑––	anacr.
1177	⏑⏑–⏑–⏑––	anacr.
1178	⏑⏑– ⏑⏑– ⏑⏑––	ion. trim. sync.
1179	⏑⏑– ⏑⏑––	ion. dim. sync.
1180	⏑–⏑⏑––	reiz.
1181	–⏑⏑– –⏑––	chor. dim. A
1182	–⏑⏑– –⏑⏑–	chor. dim.
1183/4	–⏑⏑– –⏑⏑– –⏑–	chor. dim. + cr.
1185	–⏑⏑– –⏑⏑–	chor. dim.
1186	–– ––	2 sp.
1187	–– –– ⏑⏑– ⏑⏑–	anap. dim.
1188	–––⏑⏑–⏑–	glyc.
1189	–– –⏑⏑–⏑–	glyc.
1190	–⏑⏑ –⏑⏑ –⏑⏑ ––	dactyl. tetram.
1191	–––⏑ –⏑⏑–	chor. dim. B
1192	–––⏑⏑–⏑––	hipp.
1193	––⏑⏑––	reiz.
1194	⏑––⏑ –⏑⏑–	chor. dim. B
1195	–– –⏑⏑–⏑–	glyc.
1196–1207		dactyl. tetram. × 11 (1202 dactyl. dim.)
1208	⏑ –⏑–⏑⏑– –	chor. enopl. B
1210	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑––	ia. dim. cat.
1211	–– ⏑––	sp. + ba.

1212	–⏑–⏑–⏑⏑̇	lekyth.
1213	–⏑– ⏑ –⏑⏑–	chor. dim. B
1214	–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim. sync.
1215	–⏑–⏑ –⏑⏑– ⏑⏑––	? chor. dim. B + ion.
1216–1217	⏑ –⏑⏑– ⏑–⏑⏑–⏑–⏑̇	? anc. + chor. + chor. enopl. A

BIBLIOTHECA TEVBNERIANA

Euripides, Electra

Edidit Giuseppina Basta Donzelli. 1995

Dieser Text bildet einen wichtigen Bestandteil und zugleich den Abschluß der Euripideseditionen von B.G.Teubner. Gegenüber der Textausgabe innerhalb des 2. Bandes der Euripides-Fabulae in den Oxford Classical Texts von 1981 stellt diese Ausgabe einen Fortschritt allein schon dadurch dar, daß wesentliche, erst kürzlich erschienene Literatur in ihr mit verarbeitet ist. Darüberhinaus bietet sie als Einzelausgabe durch ein vollständiges Verzeichnis früherer Editionen und ein umfangreiches, nach Verfassernamen alphabetisch geordnetes Literaturverzeichnis und einen Conspectus metrorum wesentlich mehr als jene Sammelausgabe. Hervorzuheben ist auch, daß zusätzlich zu der direkten Überlieferung über dem textkritischen Apparat Zitate aus dieser Tragödie bei späteren Schriftstellern angeführt sind, die für die Textkonstituierung Bedeutung haben. Der textkritische Apparat ist übersichtlich und zum Teil ausführlicher als in besagter Oxford-Ausgabe. Die lateinische Praefatio ist klar, straff und präzise und legt den Forschungsstand deutlich dar. Daß der Text selbst, der sich im Wesentlichen nur auf einen mittelalterlichen Kodex stützen kann, in weiten Teilen seit langem unverändert bleiben muß, versteht sich von selbst. Hervorzuheben ist jedoch die Behutsamkeit gegenüber modernen Tilgungs- und Versumstellungs-Vorschlägen. Neuere textkritische Aufsätze sind im Text oder im textkritischen Apparat gebührend berücksichtigt.



B. G. TEUBNER STUTTGART UND LEIPZIG